1 ὃν *KS*, τοῦτο *U* ‖ ὑπερθετικὸν *KSU*, *item Anecd. Ambros. pag.* 258 *teste Studemundo* ‖ 2 ὑπερτεθημένην *ex* ὑπερτεθιμένην *factum U* ‖ 3 βραχείας *KS*, βραχέος *U* ‖ 4 δὲ *KS*, δ' *U* ‖ 4—5 διὰ τὸ τοῖς ῥυθμοῖς ἐπιδείσεως ἔχειν *U* ‖ 4 πρὸς *om. K*[1], *add. K*[2] ‖ (βακχικοὺς) *addidit Studemund* (*collato Anecd. Ambros. pag.* 258 *et* 259); *possis etiam* Διονυσιακοὺς *addere* (*conf.* '*scholia Hephaestionea B*' *pag.* 28, 34) ‖ ῥυθμοὺς] *fol.* 42[v] *S* ‖ 5 τινὲς δὲ καὶ *KS*, ἔνιοι δὲ *U* ‖ ὑπὸ βάκχειον *U* ‖ 6 παλιμβακχειος *U* ‖ ὁ] ὃς *U* ‖ νυσειός *U* ‖ 7 καὶ βραχείας] καὶ βραχέος *ex* καὶ βραχέων *inter scribendum correctum ? U* ‖ καλεῖται καὶ ἀντιβάκχειος *KS*, καὶ ἀντιβάκχειος καλεῖται *U* ‖ 8 καλεῖται δὲ καὶ διονύσιος *KS*, νύσειος δὲ *U* ‖ 8—9 *verba* ἐκ — βραχείας *hoc loco om. U* (*recte*) ‖ 9 διονυσιακὰ *KSU* ‖ 10 τινες δ' αὐτὸν *U* ‖ προσοδιακὸν *ad Anecdoton Ambrosianum pag.* 259 *scribendum est*, προποδιακὸν *KSU et* '*scholiorum Hephaestioneorum B*' *pag.* 29, 2 *codices* ‖ καλοῦσιν καὶ πομποτικὸν *KS*, οἱ δὲ πομπικὸν καλοῦσι *U*; *ad* πομπευτικὸν *ducunt* '*scholia Hephaestionea B*' *l. c.*; πόμπιμος *vocatur in Anecd. Ambros. pag.* 259 ‖ δία *U* ‖ προσοδίοις] ποδίοις *KS et* '*scholiorum Hephaestioneorum B*' *l. c. codices*, προποδίοις *U* ‖ 11 καλουμένην *U* ‖ πομπαῖς *KS*, προπομπαῖς *U* ‖ 12 χορεῖος ὁ *KS*, χόρειος προπαροξυτόνως ὡς ἡρωδιανὸς ἐν ῃ (*?*) καθόλου φησὶν (*sic an* φησὶ *incertum*) ὅτι *U* (*ceterum conf. Herodian.* II 606, 11 *ed. Lentz*) ‖ τρίβραχυς καὶ] τρίβραχυς ὃς καὶ *U*, *om. KS* ‖ 13 βραχειῶν *KS*, ὡ *U* ‖ χόρειος *U* ‖ χοριακὰ *KS*, χωρικὰ *in rasura U* ‖ 14 δία *U* ‖ βραχειῶν *U*, βραχέων *KS* ‖ 15 ἐν τρισυλλάβοις *secludenda sunt, nisi forte pertinent ad* 15—16 τὰς πάσας συλλαβάς ‖ 15—16 *verba* ὡς *usque ad* δὲ *om. K*[1], *add. K*[2] *in margine* (*superscripto* κείμενον) ‖ 16 θαμύριδι *KS*, θαμύρ *U* ‖ 17 κλαίομεν *U* ‖ 17—18 πρόσωδα — τάδέ (*sic*) σε κλαίομαι — χερσὶ πόδεσσιν *Anecdoton Ambrosianum pag.* 259 ‖ 18 χερσι *U* ‖ 19—20 ἑξάχρονος *U* ‖ 20 διά *U* ‖ μέγιστος *ex* μέγιστον *factum K* ‖ 21 μηκίστους *K* ‖ 23 μολοσσικαῖσι χερσὶν ἐκτείνων χεῖρας *Anecd. Ambros. pag.* 260

ἰωνικὸς ἀπ' ἐλάσσονος ἢ ὑποκύκλιος, ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν[[, ἑξάχρονος]]. —

Περὶ χοριάμβου. χορίαμβος ἢ κύκλιος ἢ ὑποβάκχειος ἢ καὶ βακχεῖος κατὰ τροχαῖον, [[τινὲς καὶ χορείαμβον αὐτὸν ἐκάλεσαν,]] ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς[[, ἑξάχρονος]]. — 5

Περὶ ἀντισπάστου. ἀντίσπαστος, ὁ καὶ σπονδειακὸς καὶ βακχεῖος κατὰ ἴαμβον, ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας[[, ἑξάχρονος]]. —

Περὶ διιάμβου. διίαμβος ἢ παράλληλος ἴαμβος ἢ ἰαμβικὴ ταυτοποδία, ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς[[, ἑξάχρονος]]. —

(173, i) Περὶ διτροχαίου. διτρόχαιος ἢ ἀντιπαράλληλος, ὁ καὶ κρητικὸς κατὰ 10
Ἀριστόξενον ἢ διχόρειος ἢ τροχαϊκὴ ταυτοποδία, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας[[, ἑξάχρονος]]. —

Περὶ ἐπιτρίτου α'. ἐπίτριτος πρῶτος ⟨ἢ⟩ ἵππειος πρῶτος ἢ [[καὶ]] καρικὸς ἢ καὶ δόχμιος, ἐκ βραχείας καὶ τριῶν μακρῶν, ἑπτάχρονος. ἰστέον δ' ὅτι τοὐναντίον τοῦ παιῶνος ἐνταῦθα ἡ βραχεῖα μετέρχεται. — περὶ ἐπιτρίτου β'. ἐπίτριτος δεύτερος ἢ ἵππειος δεύτερος ἢ δόχμιος δεύτερος, ὁ καὶ καρικός, ἐκ μακρᾶς καὶ βραχείας καὶ β' μακρῶν[[, ἑπτάχρονος]]. — περὶ ἐπιτρίτου γ'. ἐπίτριτος τρίτος ἢ ἵππειος τρίτος, ὁ καὶ παροδικός, ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς[[, ἑπτάχρονος]]. — περὶ ἐπιτρίτου δ'. ἐπίτριτος τέταρτος, ὁ καὶ μονογενής, ἐκ τριῶν μακρῶν καὶ βραχείας[[, ἑπτάχρονος]]. —

Περὶ δισπονδείου. δισπόνδειος ἢ ἐμβατήριος, ἐκ τεσσάρων μακρῶν, ὀκτάχρονος. —

[[Καὶ τοῦτο πρόδηλον· ἐν οἷς τὰ περὶ τῶν δισυλλάβων ⟨καὶ τρισυλλάβων⟩ καὶ τετρασυλλάβων ποδῶν ὅσα ἐχρῆν περὶ ὀνομασίας εἴρηται· τὸ δὲ ῥητὸν εὐχερὲς ὂν καὶ πρόδηλον παρερχόμεθα τοῦ τεχνικοῦ.]]

---

1 ἀπελ*άσσονος *K littera ab exitu quarta a K² correctione effecta*, ἀπελάσσονος *SU* ‖ βραχέων *KSU* ‖ 3 κύκλιος ἢ *KS*, κύκλιος ἡ *U* ‖ ἢ καὶ *KS*, καὶ *U* ‖ 4 κατα *U* ‖ τινες *U* ‖ χορείαμβον] χορίαμβον *U* ‖ 4—5 μακρᾶς καὶ δύο βραχέων καὶ μακρᾶς *KS*, μακροῦ καὶ β̄ βραχέων καὶ μακροῦ (*sic an* μακρᾶς *incertum*) *U* ‖ 6 ἀντίσπαστος *KS*, ἀνάπαιστος *U* ‖ σπονδειακὸς καὶ βακχεῖος *KS*, σπονδεῖος *U* ‖ 7 κατα ἴαμβον *U* ‖ ἐκ βραχείας *KS*, ἐκ βράχεος *U* ‖ καὶ βραχείας *KS*, καὶ *U* ‖ 8 διίμβος *U* ‖ ἴαμβος *KS*, ἢ ἴαμβος *U* ‖ ταυτοποδία *KSU*, *item Anecd. Ambros. pag.* 263 *teste Studemundo* ‖ 9 ἐκ βραχέος μακροῦ καὶ μακροῦ καὶ βραχέος καὶ μακροῦ *U* ‖ 10 διτρόχαιος *K litteris* αιος *a K² in rasura scriptis*, διτροχαῖος *U* ‖ κατὰ *KS*, καρ̄ *U* ‖ 11 διχόριος *U* ‖ 11—12 ἐκ μακροῦ καὶ βραχέος καὶ μακροῦ καὶ βραχέος *U* ‖ 13 (ἢ) *addidit Studemund* ‖ 14 βραχείας *KS*, βραχέος *U* ‖ Ἰστέον *KU*, στέον *S* ‖ δ' *KS*, δὲ *U* ‖ 15 ὅτι] *fol.* 143ᵛ *U* ‖ τοὐναντίον *KS*, ἐναντίον *U* ‖ παίωνος *U* ‖ βραχεῖα *SU*, βακχεῖα *K* ‖ 16 ἐπίτριτος *KS*, ἔστι γὰρ ἐπὶ τριτος *U* ‖ 17 μακροῦ καὶ βραχέος καὶ β̄ ≅ *U* ‖ 17—18 *schema epitriti tertii* --⏑-, *quod recte scripserat K², mutavit K³ cum* ---⏑ ‖ 18 ἐπίτριτος τρίτος *KU*, ἐπίτριτος *S* ‖ 19 βραχείας *KS*, βραχέος *U* ‖ μακρᾶς *an* μακροῦ *incertum U* ‖ 20 τέταρτος *U*, δ' *KS* ‖ μονογενῆς *U* ‖ βραχέος *U* ‖ 22 ἐμβατήριος *Nauck in Anecd. Ambros. pag.* 264, *ubi est* βατήριος; ἐκβατήριος *KSU* ‖ τεσσάρων μακρῶν *KS*, δ̄ ≡ *U* ‖ 24 περι *U* ‖ 25 περι *U* ‖ εἰρηται *U* ‖ 26 ὂν] ὂν *U* ‖ 24—26 *verba in U corrupta persanare nolui*

Caput IV.

Περὶ ἀποθέσεως μέτρων.

Περὶ ἀκαταλήκτων. Ἀκατάληκτα καλεῖται μέτρα, ὅσα τὸν τελευταῖον πόδα ὁλόκληρον ἔχουσιν, ὡς ἐπὶ τοῦδε τοῦ δακτυλικοῦ

5 μῶσάγε Καλλιόπα θύγατερ Διός (Heph. p. 14, 19; Alcman fr. 45 Bergk)·

καταληκτικὰ δέ, ὅσα μεμειωμένον ἔχουσι τὸν τελευταῖον πόδα' καὶ τὰ ἑξῆς. — ἰστέον ὅτι ἀπόθεσις καὶ κατάληξις ταὐτόν ἐστι. περὶ ἀποθέσεως οὖν φησιν οἱονεὶ [[περὶ]] καταλήξεως. ἔστι δὲ καὶ γενικὸν ὄνομα ἡ ἀπόθεσις οἱονεί, ὡς

10 εἴρηται, πᾶσα κατάληξις· ἔστι δὲ καὶ ἰδικὸν ἀντὶ τοῦ ἐλάττωσις. λέγει οὖν ποῖα εἰσὶν ἀκατάληκτα μέτρα καὶ ποῖα καταληκτικὰ εἰς συλλαβὴν ἢ δύο συλλαβάς. —

Ἀκατάληκτα τοίνυν ἐστίν, ὡς [[καὶ]] αὐτὸς σαφῶς δίδωσιν, ὅσα ἔχουσι τέλειον τὸν τελευταῖον πόδα μηδὲν λείποντα, οἷον φησὶ τὸ παράδειγμα ἐπὶ δα-

15 κτυλικοῦ τετραμέτρου· ἔχει γὰρ τοὺς τέσσαρας πόδας τελείους

μῶσάγε Καλλιόπα θύγατερ Διός (Heph. p. 14, 19; Alcman fr. 45 Bergk). —

Καταληκτικὰ δὲ τοὐναντίον ὅσα τὸν τελευταῖον πόδα ἀτελῆ ἔχουσιν, οἷον ἐπὶ ἰάμβου φησὶν

20 χαίροις ἀνύμφα, χαιρέτω δ' ὁ γαμβρός (Heph. p. 14, 22; Sapph. fr. 103 Bergk)·

πέντε γὰρ ἔχει πόδας καὶ συλλαβήν. ἐὰν δὲ τρισύλλαβος ᾖ ὁ ποὺς ὁ ἐπὶ τοῦ τέλους καὶ συνιστῶν τὸ πᾶν μέτρον, οἷον ἔστι ⟨τὸ⟩ δακτυλικόν, δύναται εἶναι καταληκτικὸν εἰς συλλαβήν, τουτέστιν δύναται λείπειν δύο συλλαβάς, οἷον φησὶ

25 πάλιν ὁ αὐτὸς ἐπὶ δακτυλικοῦ μέτρου τὸ παράδειγμα

---

2 *verba* πρᾶξις τετάρτη, *quae ante hunc titulum exspectes, in codice U non leguntur* ‖ *hunc titulum scripsit* K^1 ‖ περι *U* ‖ μέτρου *SU* ‖ 3 *titulum add.* K^2 *in margine, om. U* ‖ ἀκατάληπτα *U* ‖ 4 ἔχουσιν ὡς *KS*, ἔχει οἷον *U*, ἔχει οἷον ὡς *Hephaestion* ‖ ἐπὶ τοῦδε τοῦ *KS*, ἐπι *U*, ἐπὶ *Hephaestion* ‖ 5 μοῦσάγε *KS*, μῶσάγε *U*, μῶσαγε *Hephaestionis codices CM, sed* μῶσάγε *eius AKS; idem hic scriptor infra vers.* 16 ‖ θυγατέρα *U* ‖ 7 καταληκτὰ *K* ‖ μεμειωμένον *U et Hephaestion*, σεσημειωμένον *KS* ‖ τελευταῖον *U et Hephaestion, om. KS* ‖ τὰ *om. U* ‖ 8 *conf.* '*scholia Hephaestionea B' pag.* 16, 26; *de Choeroboosci fonte conf. Rhein. Mus.* XXXVI, 289—294 ‖ ταὐτόν *ex* ταὐτό *correctum K*, ταυτό *U* ‖ φησὶ *an* φησὶν *incertum U* ‖ 9 περι *U* ‖ οἱονεὶ *KS*, οἷον *U* ‖ 10 ἐστι *U* ‖ ἰδικὸν *ex* εἰδικὸν *ut fere videtur per rasuram effectum K* ‖ τοῦ *om. U* ‖ 11 ἀκατάληπτα *U* ‖ ἢ *KU*, καὶ *S* ‖ 13 ἀκατάληπτα *U* ‖ *verba* τοίνυν ἐστὶν ὡς αὐτός K^2 *in rasura scripsit* ‖ ἐστὶν *KS*, εἰσὶν *U* ‖ αὐτός] *fol.* 55ᵛ *K* ‖ δίδωσιν *KS*, παραδίδωσιν *U* ‖ ἔχουσιν *S* ‖ ἔχουσιν] *fol.* 43ᵛ *S* ‖ 14 μηδὲν *U* ‖ τὸ *om. U* ‖ παράδιγμα? *U* ‖ ἐπι *U* ‖ 15 τετραμέτρου *Studemund*, διμέτρου *KSU* ‖ τέσσαρας πόδας *KS*, τρεῖς δακτύλους *U* ‖ 16 μῶσάγε *U* ‖ 18 ὅσα *U*, καὶ ὅσα *KS* ‖ πόδα ἀτελῆ *U*, ἀτελῆ πόδα *KS* ‖ ἔχουσι *U* ‖ 19 φησὶ *an* φησὶν *incertum U* ‖ 20 χαίροις ἀνύμφα *K* (ἀ *effecit* K^2 *correctione*) *et S et Hephaestionis codices AKCM* (ἀνυμφα *huius S*), χαίροις ἀνύμφα *U*, χαίροισα νύμφα *Hephaestionis codices HN* ‖ 22 καὶ συλλαβὴν *KS, om. U* ‖ δὲ *addidit eadem manus in S* ‖ ἐπὶ *Mendelssohn*, ἀπὸ *KSU* ‖ τοῦ *K, om. SU* ‖ 23 συνιστὰς *U* ‖ οἷον ἔστι ⟨τὸ⟩ δακτυλικόν *Studemund*, ἐὰν ἔστι δακτυλικὸν *KS*, ἐὰν ἢ δακτυλικὸν *U* ‖ 24 κατὰ ληκτικὸν *U* ‖ τοῦτέστιν *K* ‖ δύο συλλαβὰς *KS*, εἰς δύο συλλαβᾶς *U; an* δύο συλλαβαῖς *scribendum? ceterum conf. pag.* 65, 21 ‖ 25 ὁαυτὸς *KU*

ἐν δὲ Βατουσιάδης Heph. p. 15, 1: Archiloch. fr. 104 Bergk· δύο γὰρ ἔχει πόδας καὶ συλλαβὴν μίαν. καὶ τριμέτρου ὄντος ἐπὶ τέλους μία συλλαβὴ τόπον τοῦ τρισυλλάβου δακτύλου ἀνεπλήρωσε μόνη. ἐπὶ δὲ τῶν τοιούτων μέτρων τῶν λειπόντων καὶ μὴ ὄντων ἐντελῶν τὰ μὲν παρὰ μίαν [[μόνην] συλλαβὴν ὄντα λέγεται καταληκτικὰ εἰς δισύλλαβον κατέληξε γὰρ εἰς δισύλλαβον πόδα. λείπει δὲ μία συλλαβή, ἵνα ᾖ τρισύλλαβος, τὰ δὲ παρὰ δύο συλλαβὰς λέγονται καταληκτικὰ εἰς συλλαβήν, ὅτι κατέληξεν εἰς συλλαβήν. λείπουσι δὲ ἔξωθεν δύο συλλαβαί, ἵνα ᾖ τὸ πᾶν τρισύλλαβον. —

Διὰ τοῦτο γὰρ [καὶ] εἰς τὸ ἔπος εἰώθαμεν λέγειν· γένους μὲν ἐστὶ δυαδικοῦ τετρασήμου, εἴδους δακτυλικοῦ, μεγέθους ἑξαμέτρου κατὰ πόδα, σχέσεως τακτικῆς, συντάξεως συνθέτου, ἀποθέσεως καταληκτικῆς τῆς εἰς δισύλλαβον, τομῆς τῆσδε. — ⟨εἴδους μὲν οὖν ἐστι δακτυλικοῦ⟩. ἐπειδὴ κυρίως δακτυλικόν ἐστι τοῦ ἔπους τὸ μέτρον· εἰ γὰρ καὶ εὑρίσκεται σπονδεῖος ἐν αὐτῷ, ἀλλ' οὖν δυνάμει καὶ αὐτὸς δάκτυλός ἐστι, τῆς δευτέρας τοῦ σπονδείου μακρὰς ἀντὶ δύο βραχειῶν οὔσης καὶ κατὰ κρᾶσιν ⟨β'⟩ βραχειῶν εἰς μίαν μακρὰν συνελθουσῶν. — ἐπειδὴ οὖν δακτυλικόν ἐστι τὸ μέτρον τοῦ ἔπους, κατὰ πόδα ἕνα ἑξάμετρόν ⟨ἐστι⟩ καὶ ἔχει πέντε τελείους πόδας καὶ δύο συλλαβάς, τουτέστιν ἢ σπονδεῖον ἢ τροχαῖον, τῆς τελευταίας ἀδιαφορούσης. ὡς αὐτὸς μέλλει εἰπεῖν. — καλῶς φαμὲν 'ἀποθέσεως καταληκτικῆς τῆς εἰς δισύλλαβον'· καταλήγει γὰρ εἰς δύο συλλαβάς, λείπει δὲ μία, ἵνα γένηται τρισύλλαβον. — ἄξιον δὲ ἡμᾶς ταῦτα πάντα τὰ τοῦ ἔπους ἐπεξεργάσασθαι, παρεπόμενα καὶ ἀχώριστα συμβεβηκότα ὄντα. —

Ἰστέον τοίνυν ὅτι γένους μέν ἐστι δυαδικοῦ τετρασήμου. ἐπειδὴ τεσσάρων ὄντων δισυλλάβων ποδῶν (πυρριχίου, σπονδείου, ἰάμβου καὶ τροχαίου) δύο μόνοι ἐξ αὐτῶν εἰσιν οἱ ἀποτελεστικοὶ μέτρων, ὅ τε ἴαμβος καὶ ὁ τροχαῖος (ὅθεν καὶ

---

1 βατουσιώδης *U* ‖ 2 ἐπὶ τέλους *S*, ἐπιτέλους *K*, ἡ ἐπι τέλους *U* ‖ 3 τόπον *U*, τόπου *KS* ‖ ἀνεπλήρωσε μόνη *S*, *item K litteris* ἀν *a* K^2 *in rasura scriptis*, μόνη ἀνεπλήρωσεν *U* ‖ τῶν *om. U* ‖ 4 μη *U* ‖ τὰ *KS*, τὸν *U* ‖ παρα *U*, περὶ *KS* ‖ 5 συλλαβὴν ὄντα *KS*, ὄντα συλλαβὴν *U* ‖ 6 μίαν συλλαβ' *U* ‖ ἦ *U*, ἔσται *KS* ‖ τρισύλλαβος *K*, τρισύλλαβον *S*, σύλλαβον *U* ‖ παρα *U*, περὶ *KS* ‖ 7 λέγεται καταληκτικὸν *U* ‖ 8 λείπουσι *K litteris* ουσι *a* K^1 *correctione effectis*, λείπει *U* ‖ συλλαβᾶς *U* ‖ ἦ *KS*, *om. U* ‖ 9 διατοῦτο *S*, διατοῦτο *U* ‖ μέν ἐστι *U* ‖ 9—10 διαδικοῦ *K* (*quarta littera ex* σ *facta*) *et S* ‖ 10 πόδας *U* ‖ 11 κατὰ ληκτικῆς *U* ‖ 12 τομῆς τῆς δε *KS*, *om. U* ‖ ⟨εἴδους — — δακτυλικοῦ⟩ *addidi, nullum lacunae vestigium in KSU* ‖ 12—13 δακτυλικόν ἐστι τοῦ ἔπους *KS*, τοῦ μέτρου τοῦ ἔπους δακτυλικόν ἐστι πᾶν *U* ‖ 13 εἰ *K ex corr.?* ‖ σποδεῖος *U* ‖ ἑναυτῷ *K* ‖ 14 εστι *U* ‖ ἀντι *U* ‖ δύο *om.* K^1, *add.* K^2 ‖ 15 *verba* οὔσης — ⟨β'⟩ βραχειῶν *om. U* ‖ ⟨β'⟩ *addidit Mendelssohn* ‖ συνελθουσῶν *Mendelssohn*, συνελθούσης *KSU* ‖ 16 δακτυλικον *U* ‖ τοῦ *om. U* ‖ κατα *U* ‖ 16—17 ἑξάμετρόν ⟨ἐστι⟩ καὶ *scripsi*, ἑξάμετρον καὶ *KS*, ἑξάμετρον *U* ‖ 17 συλλαβᾶς *U* ‖ τοῦτέστιν *KU* ‖ 17—18 ἢ σπονδεῖον ἢ *KS*, καὶ σπονδεῖον καὶ *U* ‖ 18 τῆς *U*, τῶ K^1, τῶ τῆς K^2, τὸ τῆς *S* ‖ 19 καταλήγει *in antiqua rasura scriptum K* ‖ 20 συλλαβᾶς *U* ‖ δὲ *KS*, γὰρ *U* (*ex* δὲ *? correctum*) ‖ τρισύλ] *fol.* 44r *S* ‖ 20—21 ταῦτα πάντα τὰ *KS*, πάντα ταῦθα *? U* ‖ 21 ἐπεξερ] *fol.* 144r *U* ‖ ἀχώριστα] *fol.* 56r *K* ‖ 23 τοίνυν *KS*, δὲ *U* ‖ μέν ἐστι *KS*, μὲν ἐστὶν εἰπε (*sic an* εἰπε *an* εἶπε *incertum*) *U* ‖ διαδικοῦ *KSU* ‖ τεττάρων *KS* ‖ 24 ὄντω *S* ‖ δισυλλάβων *KS*, συλλαβῶν *U* ‖ πυρριχείου σπονδεῖου *U* ‖ 25 εἰσὶ οἱ ἀπὸ τελεστικοὶ *U* ‖ καὶ ὁ τροχαῖος *in rasura scripsit K*, καὶ τροχαῖος *U*

ἰαμβικὸν μέτρον λέγεται ἢ τροχαϊκόν, οὐ μὴν πυρριχιακὸν ἢ σπονδειακόν, εἰ καὶ συλλαμβάνονται ἔστιν ὅτε κατά τινας χώρας τοῦ ἰάμβου καὶ τοῦ τροχαίου)· ἔστιν οὖν ὁ ἴαμβος γένους [[μὲν]] δυαδικοῦ τρισήμου οἱονεὶ τριχρόνου[[· ἐκ βραχείας καὶ μακρᾶς συγκείμενος τρεῖς ποιεῖ χρόνους]]. ὁμοίως δὲ καὶ ἐν τοῖς τρισυλλάβοις ὀκτὼ ὄντων τῶν ποδῶν δύο εἰσὶ μόνοι ἀποτελεστικοὶ μέτρων. ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος, ὅθεν καὶ περὶ αὐτῶν μόνων διαλαμβάνει ὁ τεχνικός, περί τε δακτυλικοῦ μέτρου κατ' ἰδίαν καὶ περὶ ἀναπαιστικοῦ· ἐπειδὴ οὖν ὁ στίχος ἀπὸ δακτύλου σύγκειται, εἰώθαμεν λέγειν· γένους μέν ἐστι δυαδικοῦ. (δύο γὰρ μόνοι εἰσὶ γενικοὶ καὶ ἀποτελεστικοὶ μέτρων, ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος). τετρασήμου δὲ εἴρηται οἱονεὶ τετραχρόνου[[· ἐκ μακρᾶς γὰρ καὶ δύο βραχειῶν συγκείμενος ὁ δάκτυλος τέσσαρας ἔχει χρόνους]]. — τὸ δὲ εἶδος δακτυλικὸν νενόηται. — πάλιν μεγέθους ἑξαμέτρου κατὰ μονοποδίαν εἴρηται, ἐπειδὴ οὐ κατὰ διποδίαν μετρεῖται ὁ στίχος, ὡς ἕτερα πολλὰ μέτρα, οἷον ὁ ἴαμβος· οὗτος γὰρ ἐξ [[ἁπλοῦς]] ἔχων πόδας [[καὶ]] κατὰ διποδίαν μετρουμένους τρίμετρος καλεῖται· ὁ δὲ στίχος [[ὁ]] ἑξάμετρος κατὰ ἕνα πόδα μετρούμενος καὶ οὐ κατὰ διποδίαν, ὡς προείπομεν. [[πάλιν σχέσεως τακτικῆς λέγεται.]] —

Περὶ βραχυκαταλήκτων. 'βραχυκατάληκτα δὲ λέγεται, ὅσα ἀπὸ διποδίας ὅλῳ ποδὶ μεμείωται ἐπὶ τέλους, οἷον ἐπὶ ἰάμβου' καὶ τὰ ἑξῆς. [[Εἰπὼν περὶ ἀκαταλήκτων καὶ καταληκτικῶν μέτρων]] περὶ βραχυκαταλήκτων διαλαμβάνει καὶ φησίν, ὅτι βραχυκατάληκτά ἐστιν, ὅσα κατὰ διποδίαν μετρούμενα τέλειον ἁπλοῦν ἕνα πόδα λείπουσιν, οἷον ἐπὶ ἰάμβου (κατὰ διποδίαν [[γὰρ μετρεῖται]], ὅθεν καὶ τρίμετρος ὀνομάζεται), καὶ φησὶν ὁ τεχνικὸς τὸ παράδειγμα

---

1 ἰαμβικὸν *K litteris* ικ *correctione effectis* ‖ μέτρον λέγεται *KS*, λέγεται μέτρον *U* ‖ μὴν πυρριχιακὸν *U* ‖ 2 συλλαμβάνονται *KS*, λαμβάνονται *U* ‖ ἔστιν ὅτε *KS*, ἐστιν ὅτε καὶ *U* ‖ τοῦ τροχαίου *KS*, τροχαίου *U* ‖ 3 ἐστιν *U* ‖ διαδικοῦ *KSU* ‖ 5 εἰσὶ μόνοι *KS*, μόνοι εἰσὶν *U* ‖ 6 ὁ ἀνάπαιστος *KS*, ἀνάπαιστος *U* ‖ διάλαμβάνει *U* ‖ 7 καὶ περὶ *KS*, καὶ περι *U* ‖ 8 οὖν *KS*, *om. U* ‖ γένους μέν ἐστι *KS*, γένος ἐστὶ *U* ‖ 8—9 διαδικοῦ *KS*, δυάδικοῦ *U* ‖ 9 γενικοὶ καὶ *KS; om. U, ubi tamen in margine scriptum est:* ..γεντικοὶ.. ‖ ἀποτελε στικοὶ (*sic*) *S* ‖ ὁ *KS*, ὁ *correctum ex* ὁ | ὁ *U in confinio duarum linearum* ‖ 10 ὁ *KS*, *om. U* ‖ τετρασήμου δὲ *U*, τετρασήμου γὰρ *KS* ‖ 12 εἴδους δακτυλικοῦ νόηται *U* ‖ κατὰ μονοποδίαν *KS*, κατα ποδίαν *U* ‖ 14 ὁ ἴαμβος *KS*, ἴαμβος *U* ‖ γὰρ ἐξ ἔχων πόδας *KS*, ἑξαπλοῦς πόδας ἔχων *U* ‖ διποδίαν *KS*, ποδίαν *U* ‖ μετρουμένους *KSU*, *malim* μετρούμενος *ut in vers.* 15 ‖ 15 ἑξάμετρος *ex* ἑξάμετρος *factum KU* ‖ κατα *U* ‖ 16 διποδίαν *KS*, ποδίαν *U* ‖ τακτικῆς *? litteris duabus extremis incertissimis U* ‖ *pag.* 64, 23 — *pag.* 65, 16 *apparet* τὰ παρεπόμενα *bis in eis quae antecedunt tractata, utramque autem descriptionem et mancam et confusam esse* ‖ 17 *titulum addidit K² in margine* ‖ περὶ βραχυκα|λήκτων *U* ‖ λέγεται *KS*, καλεῖται *U cum Hephaestione* ‖ 18 διποδίας *U*, διποδίαν *KS* ‖ ὅλῳ ποδὶ μεμείωται ἐπὶ τέλους *KS*. ἐπιτέλους ὅλῳ ποδὶ μεμείωται *U* (*cum Hephaestione*) ‖ οἷον ἐπὶ ἰαμβου *KS*, *om. U* ‖ τὰ *KS*, *om. U* ‖ 19 εἰπων περι *U* ‖ 19—20 Περὶ βραχυκαταλήκτων διαλαμβάνει καὶ φησὶν *KS*, βούλεται διαλαβεῖν καὶ λέγει πάλιν περι βραχυκαταλήκτων *U* ‖ 20 ἐστιν *KS*, εἰσὶ *U* ‖ κατα *U* ‖ 21 τέλειον ἁπλοῦν ἕνα πόδα λείπουσιν *KS*, λείπουσι τέλειον ἁπλοῦν ἕνα πόδα *U; an* τελείῳ ἁπλῷ ἑνὶ ποδὶ λείπουσιν *? conf. pag.* 63, 24 ‖ οἷον *KS*, οἷον ὡς *U* ‖ ἐπι *U* ‖ διποδίαν *KS*, ποδίαν *U* ‖ 22 τεχνικὸς τὸ *KS*, τεχνικός *U*

ἄγ' αὖτ' ἐς οἶκον τὸν Κλεησίππω (Heph. p. 15, 11; fr. adesp. 45 Bergk)·

ἐνταῦθα [[γὰρ]] τὸ 'σίππω' ἀντὶ ὅλης ἰαμβικῆς κεῖται διποδίας. —

Περὶ ὑπερκαταλήκτων. πάλιν ὑπερκατάληκτα καλεῖται μέτρα, ὅσα πρὸς [[τοῖς]] τελείοις ποσὶ συλλαβῇ τοῦ ὡρισμένου μέτρου περιττεύουσιν, οἷον ἐπὶ ἰαμβικοῦ (ἔστι δὲ δίμετρον κατὰ διποδίαν) 5

εἶμ' ὥστ' ἀπὸ πυσσάλω λυεῖσα (Heph. p. 15, 16; fr. adesp. 46 A Bergk)·

ἔχει γὰρ τὴν σα συλλαβὴν περιττεύουσαν. (ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· πορεύομαι ὥσπερ ἀπὸ πασσάλου λυθεῖσα. πύσσαλον γάρ φησι τὸν πάσσαλον). δύναται δὲ εἶναι ὑπερκατάληκτα καὶ δύο συλλαβαῖς, ὅταν οἱ πόδες τρισύλλαβοι ὦσιν, οἷον φησὶ τὸ παράδειγμα 10

ἅδ' Ἄρτεμις ὦ κόραι (Heph. p. 15, 21; Telesill. fr. 1 Bergk).

ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν ἐκ δύο ποδῶν, τοῦ πρώτου σπονδείου ἰσοδυναμοῦντος ἀναπαίστῳ. (εἴρηται γὰρ πολλάκις, ὅτι ἡ μακρὰ ἰσοδυναμοῦσα δύο βραχείαις συλλαβαῖς ἐστί). τοῦτο γὰρ πρὸς τῇ ὁλοκλήρῳ συζυγίᾳ οἱονεὶ διποδίᾳ (τὴν γὰρ διποδίαν συζυγίαν ἐκάλεσε) περιττεύει δύο συλλαβαῖς. — 15

Ἄλλο κεφάλαιον. 'παντὸς μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή, ὡς εἶναι αὐτὴν βραχεῖαν καὶ μακράν' καὶ τὰ ἑξῆς. πρόδηλόν ἐστι τὸ λεγόμενον, ἐπειδὴ λέγει παντὸς εἶναι μέτρου τὸ τέλος ἀδιάφορον, τουτέστι μακρὸν ἢ βραχύ. Ἰστέον ὅτι εὐλόγως ἡ βραχεῖα ἀντὶ μακρᾶς εὑρίσκεται κατὰ τὸ τέλος· βοηθεῖται γὰρ ὑπὸ τῆς σιωπῆς. παραλόγως δὲ ἡ μακρὰ ἀντὶ βραχείας παραλαμβάνεται ἐν τέλει μέτρου, ὅμως δ' οὕτως ἐπεκράτησε. — 20

---

1 ἄγ' *U*, ἄγ' *K*, ἀγ' *S* ‖ αὖτ' *S*, αὖ τ' *K*, ἀντ' *U* ‖ ἐς *om. U* ‖ κλεησίππω *K litteris* κλεησ *a K¹? correctione effectis*, καλησίππω *U* ‖ 3 ἐνταυθα *U* ‖ διποδίας *KS*, ποδίας *U* ‖ 4 *titulum addidit K² in margine, om. U* ‖ 5 τοῖς *ex* τῆν *? correctum U, om. KS* ‖ συλλαβῇ *scripsi*, συλλαβὴν *KSU; an* συλλαβὴν τ. ὡ. μ. περιττεύουσαν ἔχουσιν *? conf. vers.* 9 ‖ περισσεύουσιν *KU*, περισπεύουσιν *S* ‖ 6 ἐπι ἀμβικοῦ *U* ‖ δίμετρον *KS*, τετράμετρον *U* ‖ δίμετρον] *fol.* 44ᵛ *S* ‖ κατὰ διποδίαν *KS*, κατιδίαν οἷον *U* ‖ 7 *sic K* (*verbi* πυσσάλω *litteram* υ *scripsit K² in ras., et litterae* λω *correctione effectae videntur*) *et S et Hephaestionis codices HN* (εἰμ' *H*, ὡς τ' *N*), εἰμ' ὡς ἀπὸ πυσσάλω (*ex* πυσσάλου *factum*) λυθεῖσα *U*, εἰμ' ὦ ταπυσ.σάκω λυθεῖ.σα *Hephaestionis codex optimus A* ‖ 9 γὰρ *KS*, δὲ *U* ‖ λέγει *KS*, θέλει εἰπεῖν *U* ‖ ἐστι *ex* ἔστι *? per rasuram effectum K*, ἐστὶ *U* ‖ 10 ὥσπερ *KS, om. U* ‖ τὸν *ex* τὸ *factum ? K* ‖ 11 ὑπερκατάληκτα *KS*, καταληκτὰ *U* ‖ συλλαβαῖς *ex* συλλαβων *? correctum U*, συλλαβῶν *KS* ‖ ὅταν *scripsi*, ὅτε *KSU* ‖ οἱ *SU*, οἱ ** *vel* οἱ *** *K* ‖ 12 τὸ *KS, om. U* ‖ 13 ἅδ' *KS et Hephaestionis codices K²SHN*, ἃ δὲ *U*, ἅδε *Hephaestionis codices AK¹*, ἁ δὲ *eiusdem codices CM* ‖ ἄρτεμις] *fol.* 56ᵛ *K* ‖ κόραι *U*, κόρα *ex* κόραι *? per rasuram factum K*, κόρα *S et Hephaestionis codices K* (*in quo post* κόρα *parva rasura est*) *SHN*, κόραι *ACM; conf. etiam Hephaestion pag.* 35, 22 ‖ 14 μέτρον ἀνα] *fol.* 144ᵛ *U* ‖ 14—15 ἰσοδρομοῦντος *U* ‖ 15—16 μακρὰ ἰσοδρομεῖ δύο βραχαῖς συλλαβαῖς (*om.* ἐστί) *U* ‖ 16 ὁλοκλήρω *K* ‖ 18 *titulum addidit K² in margine, om. U* ‖ ἐστι *U* ‖ τελευταῖα *U* ‖ 19 ὡς *KS*, ὥστε *U cum Hephaestione* ‖ αὐτὴν *KS*, αὐτὴν καὶ *U cum Hephaestione* ‖ βραχείαν *KS* ‖ τα *K* ‖ 20 τοῦτέστι *KU* ‖ 21 μακρὸν ἢ βραχὺ *KS*, ἐὰν μακρὸν ἢ βραχὺ τοῦτο ἀδιάφορον *U* ‖ εὐλόγως ἡ βραχεῖα ἀντὶ μακρᾶς εὑρίσκεται *KS*, ἡ βραχεῖα ἀντι μακρᾶς εὑρίσκεται εὐλόγως *U* ‖ 22 *verba* βοηθεῖται — δὲ *om. U* ‖ *ante* ἡ μακρὰ *U addit* ἄρα (*ex* ἄρα *factum*) ‖ ἀντι *U* ‖ 23 δὲ οὕτως ἐκράτησε *U*

ὥστε καλεῖσθαι τὸ εἶδος Σοφόκλειον, καὶ ἐπισυναλοιφὴν διὰ τὸ ἐπισυνάπτεσθαι τὸ σύμφωνον τῷ ἑξῆς ἰάμβῳ, ἤτοι τῷ στίχῳ. ἰστέον δ' ὅτι διὰ τὸ ἀδύνατον ὁ Εὐφορίων τὸ Ἀπολλόδωρος διέλυσε φάσκων

καί τις Ἀπολλό-
δωρος ἐφ' υἱέα Λειοφώντος.

Caput V.

Περὶ ἰαμβικοῦ.

Τὸ ἰαμβικὸν δέχεται κατὰ μὲν τὰς περιττὰς χώρας [[τουτέστι πρώτην, τρίτην καὶ πέμπτην]] ἴαμβον, τρίβραχυν καὶ ἀνάπαιστον, δάκτυλον, σπονδεῖον, κατὰ δὲ τὰς ἀρτίους [[τουτέστι δευτέραν, ⟨τετάρτην, ἕκτην⟩]] ἴαμβον, τρίβραχυν, ἀνάπαιστον· τοῦτον δὲ παρὰ μὲν τοῖς κωμικοῖς συνεχῶς, παρὰ δὲ τοῖς ἰαμβικοῖς καὶ τραγικοῖς σπανιώτερον'. — [εἰ μὲν γὰρ βραχεῖα, ἀμφίβραχυς εὑρεθήσεται ὁ πέμπτος πούς, οἷον τὸ τετράμετρον Ἱππώνακτος]. [Ἱππώνακτος δ' ἔλεγον αὐτὸ εἶναι κατὰ τὴν εἰρημένην ἀνωτέρω χρῆσιν τῆς γραὸς καὶ σκάφης·

ἄνθρωπ', ἄπελθε, τὴν σκάφην ἀνατρέψεις]. —

Ἐντεῦθεν ἄρχεται κυρίως κανονίζειν τὰ μέτρα πάνυ σαφέστατα ἀπαγγέλλων. [[ὅτι κατὰ τὰς περιττὰς χώρας, οἱονεὶ κατὰ τὸν πρῶτον καὶ τρίτον καὶ πέμπτον πόδα, δέχεται ἕνα τῶν πέντε τούτων ποδῶν, κατὰ δὲ τὰς ἀρτίους, τουτέστι κατὰ δεύτερον καὶ τέταρτον, ἕνα τῶν τριῶν· πάντως γὰρ ἡ ἀρτία ἀπὸ βραχείας θέλει ἄρχεσθαι καὶ δέχεται ἴαμβον ἢ τρίβραχυν τὸν λεγόμενον χορεῖον ἢ ἀνάπαιστον. τοῦτον δὲ τὸν ἀνάπαιστον συνεχῶς παρὰ κωμικοῖς δέχεται, σπανίως δὲ παρὰ τοῖς ἰαμβοποιοῖς καὶ τραγικοῖς.]] ἰαμβοποιοὺς δὲ καλεῖ τὸν Σιμωνίδην καὶ Ἱππώνακτα καὶ Ἀρχίλοχον. [Ἰστέον [[δὲ]] ὅτι εἰσὶ τοῦ ἰάμβου μονόμετρα, δίμετρα, ἕως [[τῶν]] ἓξ ποδῶν, κατὰ πόδα καὶ [[κατὰ]] διποδίαν· οὐ μὴν πλέον τῶν ἓξ μέτρων εὑρίσκεται. οἷον κατὰ πόδα μονόμετρον τὸ 'φεῦ φεῦ' καί τινα τοιαῦτα συνεχῶς παρὰ τραγικοῖς εὑρισκόμενα.] — εἶτα λέγει

---

1 ἐπισυνάλοιφὴν *U*, ἐπισυναλοιφή *KS* ‖ δία *U* ‖ ἐπισυνάπτεσθαι *KS*, συνάπτεσθαι *U litteris* άπτεσ *correctione effectis* ‖ 2 τω ἑξῆς *K* ‖ ἤτοι *KS*, ἢ *U* ‖ *verba* ἤτοι τῷ στίχῳ *delet Caesar* ‖ δ' *KS*, δὲ *U* ‖ διατὸ *S* ‖ ἀδυνατον *U* ‖ 3 ὁ *om. U* ‖ 3—5 *verba* διέλυσε — ἀπολλόδωρος *om. U* ‖ 4 τις *K*, τῆς *S per scripturae compendium* ‖ 5 λειφόωντος *U* ‖ 7 *titulum addidit* K^2 *in margine, item U habet in margine* ‖ 8 ἰαμβικὸν *U* ‖ τουτεστι *U* ‖ 9 ἰαμβον *U* ‖ ἀνάπαιστον δάκτυλον σπονδεῖον *KS*, σπονδεῖον δάκτυλον ἀνάπαιστον *U cum Hephaestione* ‖ 10 ἀρτίους *ex* ἀρτίας *? factum K* ‖ τοῦτ' εστι δευτέραν *U*, *qui omnia deinceps omittit usque ad* 15 ἀνατρέψεις, *addit autem in margine* ζητ(ει) ‖ 10 ἴαμβον (*sic*) *K* ‖ 11 τοῦτο *KS* ‖ 12—13 εἰ μὲν — Ἱππώνακτος, *quae verba U hic omittit, ab hoc loco aliena sunt, pertinebant ad pag.* 69, 9—10 ‖ 13 Ἱππώνακτος — 15 ἀνατρέψεις, *quae verba U hic omittit, ab hoc loco aliena sunt, pertinebant ad pag.* 69, 23 ‖ 14 κατὰ] καὶ *KS* ‖ 15 ἀνατρέπεις *KS* ‖ 16—17 ἀπαγγέλων *KS*, ἐπαγγέλλων *U* ‖ 18 τὰς] τὰς (*fol.* 145ʳ) τὰς *U* ‖ 19 τουτ' ἐστι *U* ‖ τέτραρτον *? U* ‖ 20 τον *U* ‖ 21 παρα *U* ‖ 22 παρα *U* ‖ (*sub finem*) ἰαμβοποιοὺς K^2SU, ἰαμβοποιὸς *?* K^1 ‖ καλεῖ *KS*, καλεῖται *U* ‖ 23 ἱππώνακτα καὶ ἀρχίλοχον *KS*, ἀρχίλοχον καὶ ἱππώνακτα *U* ‖ 23 Ἰστέον — 26 εὑρισκόμενα *aptius infra suum locum habeant post pag.* 67, 17 τὰ τοιαῦτα ‖ 24 (*sub finem*) κατὰ *supra lineam additum U* ‖ διποδίαν *KS*, σπονδείαν *U littera* π *correctione ? effecta et* ι *ex* ῖ *facto* ‖ 26 τραγικοῖς *KS*, τοῖς γραμματικοῖς *U*

148, 10—15 (35) ροῖ τὸ ἰαμβικὸν μέτρον, μὴ εἰρηκὼς περὶ τῆς τομῆς τοῦ ἰάμβου ἐνταῦθα. ἐν δὲ τῇ κατὰ πλάτος αὐτοῦ πραγματείᾳ καὶ τοῦτο πεποίηκε, σαφῶς δείξας καὶ συμφωνήσας πᾶσιν ὅτι δύο μόναι εἰσὶ τομαὶ τοῦ ἰάμβου, λέγω δὴ πενθημιμερὴς δύο ἥμισυ ποδῶν καὶ ἑφθημιμερὴς τριῶν ἥμισυ.

Caput VI.

[[Πρᾶξις ε′]].

Περὶ τροχαϊκοῦ.

Τὸ τροχαϊκὸν κατὰ μὲν τὰς περιττὰς χώρας δέχεται τροχαῖον, [[καὶ]] τρίβραχυν, [[καὶ]] δάκτυλον· κατὰ δὲ τὰς ἀρτίους τούτους τε καὶ σπονδεῖον καὶ ἀνάπαιστον. καταληκτικὸν δὲ ὅτε ἐστί, τὸν παραλήγοντα μάλιστα μὲν τροχαῖον δέχεται, ἔστι δ' ὅτε καὶ τρίβραχυν' καὶ τὰ ἑξῆς. — εἰπὼν περὶ τοῦ ἰαμβικοῦ νῦν καὶ περὶ τοῦ ἀντιπαθοῦς αὐτοῦ βούλεται τοῦ τροχαϊκοῦ διαλαβεῖν. ὅτι γὰρ ἀντιπαθεῖ αὐτῷ δῆλον, ἐπεὶ [[ἐκ τοῦ τροχαϊκοῦ αὐτοῦ μέτρου ἐὰν ἐπάρῃς τὴν πρώτην συλλαβήν, ἰαμβικὸν εὑρίσκεται καταληκτικὸν εἰς συλλαβήν· καὶ ἔμπαλιν]] ἐκ τοῦ ἰαμβικοῦ μέτρου ἐὰν ἐκβάλῃς τὴν πρώτην συλλαβήν, τροχαϊκὸν εὑρίσκεται καταληκτικὸν εἰς συλλαβήν. — Ἰστέον δ' ὅτι τινὲς τὸν τροχαῖον καλοῦσι καὶ χορεῖον, ὡς ἐν τοῖς χοροῖς εὑρισκόμενον, ὅθεν καὶ τὸ χοριαμβικὸν μέτρον, ὡς δείξομεν, λέγεται, τὸ ἐκ τροχαίου καὶ ἰάμβου συγκείμενον. — εἶτα λοιπὸν αὐτὸς σαφῶς διδάσκει πόθεν σύγκειται τὸ καλούμενον Εὐριπίδειον ἢ
156, 27 — 157, 2 (36) ληκύθιον. Ἰστέον δ' ὅτι τοὺς τραγικοὺς ληκύθους ἐκάλουν, ὅθεν καὶ Καλλίμαχος φησὶν

ἥτις τραγῳδὸς μοῦσα ληκυθίζουσα (fr. 98[c] Schneider).

ἄλλοι δὲ 'κομπολησκύθους'[[· ἢ ὅτι ὅμοιόν ἐστι τῷ 'ληκύθιον ἀπώλεσεν' (Aristoph. Ran. 1233)]]. — εἶτα λέγει πολλὰ εἴδη τοῦ τροχαϊκοῦ μέτρου, σαφῶς παρατιθέμενος καὶ τὰ παραδείγματα διὰ τῶν χρήσεων ἑκάστου. —

---

1 εἰρηκὸς *U* || 1—3 *verba* ἐνταῦθα — ἰάμβου *om. U* || 2 κατα *K* || 3—4 πενθημιμερὴς *U*, πενθημιμερὲς *KS* || 4 εὐθημιμερὴς *U*, ἑφθημιμερὲς *KS* || ἥμισυ *KS*, *om. U* || 6 πράξις *U* || 7 *addidit* K^2 *in margine* || 8 τὸ *K*, *om. S*, *habet U sed superscriptum* || 9 τὰς *ex* τοὺς ? *inter scribendum factum K* || τὲ *K supra lineam*, *om. U* || 10—11 *verba* καταληκτικὸν — ἑξῆς *om. U* || 10 δὲ *K ex corr.* || 12 ἀντὶ παθοῦς *U* || αὐτοῦ] *conf. pag.* 79, 4 *et pag.* 80, 3 || τοῦ τροχαϊκοῦ *KS*, τροχαϊκοῦ *U* || 13 αὐτῶ *KS*, αὐτὸ *U* || 15 ἐκ τοῦ ἰαμβικοῦ μέτρου ἐὰν ἐκβάλης *KS*, ἐὰν ἐκ τοῦ ἰαμβικοῦ ἐπάρῃς *U* || 16 εὑρίσκεται *K* || εἰς συλλαβήν *KS*, συλλαβῆς *U* || δ' *KS*, δὲ *U* || τινὲς *KS*, νες *U* || 17 χορεῖον K^2, χωρεῖον ? K^1 || 18 δείξωμεν *U* || συγκείμενον] *fol.* 46[r] *S* || 19 διδάσκει πόθεν σύγκειται *scripsi*, τὸ πόθεν σύγκειται διδάσκει *KSU* || 19—20 τὸ καλούμενον εὐριπίδιον ἢ ληκύθιον *U*, ἢ ληκύθιον τὸ καλούμενον εὐριπίδιον *KS* || 20 δ' *KS*, *om. U* || λικύθους *U* || 21 φησὶ *an* φησὶν *incertum U* || 22 ἥτις *KS*, ἥτε *U* || μοῦσα λη] *fol.* 145[v] *U* || 23 κομπολησκύθους *U*, κομπηληκύθους *K* (*additio hyphen infra* μπηλ) *et S* || ὅμοιον *U* || τῷ *Studemund*, τὸ *U* || λικύθιον *U* || 24—25 παραθέμενος *U* || 25 δία *U*

Caput VII.

Περὶ δακτυλικοῦ.

Τὸ δακτυλικὸν δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν πλὴν τῆς τελευταίας· ἐπὶ ταύτης δὲ εἰ μὲν ἀκατάληκτον εἴη, δάκτυλον ἕξει ἢ διὰ τὴν ἀδιάφορον κρητικόν· εἰ δὲ καταληκτικόν, τὰ ἀπ' αὐτοῦ μεμειωμένα ἤτοι συλλαβῇ ἢ δύο συλλαβαῖς. καὶ τὸ μὲν καταληκτικὸν εἰς συλλαβήν, τὸ δὲ καταληκτικὸν εἰς δισύλλαβον· καὶ τὰ ἑξῆς. — διαλαβὼν περὶ τῶν δισυλλάβων μέτρων νῦν ἀκολούθως [[ὁ Ἡφαιστίων]] ἐπὶ τοὺς τρισυλλάβους μετέρχεται, πάλιν δύο μόνους ἀποτελεστικοὺς ὄντας μέτρων, λέγω δὴ [[τὸν]] δάκτυλον καὶ τὸν τούτῳ [[πάλιν]] ἀντικείμενον ἀνάπαιστον. διὰ τοῦτο γὰρ καὶ προείπομεν, ὅτι εἰώθαμεν ἐν τοῖς γένεσι τοῦ στίχου λέγειν· γένους μέν ἐστι δυαδικοῦ τετρασήμου, ἐπειδὴ ὀκτὼ ὄντων τῶν τρισυλλάβων ποδῶν δύο μόνοι εἰσὶν οἱ ἀποτελεστικοὶ μέτρων. — εἶτα λέγει πάλιν σαφῶς, πόθεν σύγκειται τὸ δακτυλικὸν μέτρον, τουτέστι τὸ ἔπος. καὶ πολλάκις προέγνωμεν τοῦτο, ὅτι πάντες δυνάμει δάκτυλοι εἰσὶν οἱ πόδες τοῦ στίχου. καὶ γὰρ καὶ ὁ ἀμφίμακρος ὁ λεγόμενος κρητικός, καὶ πάλιν ὁ παλιμβάκχειος τὴν κοινὴν ἔχουσιν ἰσοδυναμοῦσαν βραχείᾳ, ὅθεν καὶ ποδίζοντες τὸν στίχον εἰώθαμεν λέγειν [[ἐν τῷ στίχῳ μετροῦντες]]· ἀμφίμακρος ἐκ μακρᾶς καὶ βραχείας καὶ κοινῆς, τετράχρονος, ἐν [[δὲ]] τῷ στίχῳ θεραπευόμενος δάκτυλος. καὶ τετράχρονος ἐστίν, οὐ πεντάχρονος, τῆς κοινῆς, ὡς εἴρηται, ἀντὶ βραχείας οὔσης. ὁμοίως καὶ ἐπὶ τοῦ παλιμβακχείου. ἀλλὰ καὶ ὁ σπονδεῖος δυνάμει δάκτυλος ἐστί, τῆς δευτέρας μακρᾶς ἀντὶ βραχειῶν δύο παραλαμβανομένης[· ὅθεν καὶ ἐν τῷ ἀναπαιστικῷ λαμβάνεται πάλιν δυνάμει ἀνάπαιστος, τῆς πρώτης μακρᾶς ἀντὶ δύο βραχειῶν παραλαμβανομένης]. — περὶ δὲ τῆς τελευταίας συλλαβῆς αὐτοῦ σαφῶς διδάσκει, πότε ἐστὶν ἀκατάληκτον καὶ πότε καταληκτικὸν εἰς συλλαβὴν καὶ δισύλλαβον. — Ἰστέον δ' ὅτι παράδειγμα τοῦ ἀκαταλήκτου οὐ περιφέρει, οἱονεὶ ἔχοντος τὸν

---

2 *addidit* K^2 *in margine* || 3 χῶραν *K* || 4 τῆς *add.* K^2, *om.* K^1 || δὲ εἰ μὲν *U litteris* δὲ εἰ μ *a prima manu in rasura scriptis* || ἀκατάληκτον *U et Hephaestion*, ἀκαταλληκτος *KS* || 4—7 *verba* ἢ διὰ τὴν — εἰς δισύλλαβον *om. U* || 7 τὰ *om. U* || τῶν *om. U* || 8 ἐπι *U* || 9 ἀπὸ τελεστικοὺς *U* || 10 τούτω] *fol.* 58r *K* || διατοῦτο *KS*, διὰ τοῦτο *U* || προείπομεν *ex* προείπωμεν? *correctum U* || 11 διδδικοῦ *U*, δακτυλικοῦ *KS* || 12 ἐπεὶ δὴ *U* || τῶν *om. U* || εἰσὶν οἱ *KS*, εἰσὶ *U* || 14 τοῦτέστι *K*, τοῦτ'ἔστι *U* || προέγνωμεν τοῦτο] προέγνωμεν τοῦτο καὶ *KS*, τοῦτο προέγνωμεν *U* || 15 γὰρ καὶ *KS*, γὰρ *U* || *prius* ὁ *supra lineam scripsit* K^1 || 16 παλιμβάκχειος *ex* παλινβάκχειος *aut hoc ex illo factum K* || ἰσοδραμοῦσαν *U* || 16—17 βραχεία *ex* βραχεῖα *factum K*, βραχεῖαν *U* || 18 ἐκ μακρᾶς *KS*, εκαμρᾶς *U* || 19—20 ἐστὶν οὐ πεντάχρονος τῆς κοινῆς ὡς εἴρηται ἀντὶ βραχείας οὔσης *KS*, ἐστὶ τῆς κοινῆς εἴρηται ἀντὶ βραχείας οὔσης οὐ πεντάχρονος *U* || 21 δάκτυλός ἐστὶ *U* || 22 βραχειῶν δύο παραλαμβανομένης *KS*, δύο βραχειῶν λαμβανομένης *U* || 23 *post* ἀνάπαιστος *U tres fere litteras* (ἐιν ὑιν?) *addit, quas ut dispiceret non contigit Mauio; an* εἶναι *volebat librarius?* || ἀντι *U* || 23—24 παραλαμβανομένης] λαμβανομένης *U* || 24 περι *U* || τελευταίας *K litteris* αίας *a* K^2 *in rasura scriptis* || 25 (*initio*) πότε *S*, *item K litteris* ότε *a* K^2 *correctione effectis*, ποῖον *U* || ἐστὶν K^2?, ἐστιν? K^1 || καὶ *om. U* || πότε SK^2, ποτὲ? K^1, ποῖον *U* || 26 δ' *KS*, δὲ *U* || παράδειγμα *U* || 26 *sq. errat Choeroboscus; de acatalectis Hephaestion disputat pag.* 23, 21 *sq.* || παραφέρει *U* || οἱονεὶ *KS*, *om. U*

τελευταῖον πόδα τέλειον δάκτυλον. τοῦ δὲ καταληκτικοῦ περιφέρει καὶ εἰς δισύλλαβον καὶ πάλιν εἰς συλλαβὴν παραδείγματα. —

Περὶ αἰολικοῦ.

Τὰ δ' Αἰολικὰ καλούμενα τὸν μὲν πρῶτον ἔχει πόδα πάντως ἕνα τῶν δισυλλάβων, ἢ σπονδεῖον ἢ τροχαῖον ἢ ἴαμβον ἢ πυρρίχιον· τοὺς δὲ ἐν μέσῳ πάντας δακτύλους· τὸν δὲ τελευταῖον πρὸς τὴν ἀπόθεσιν δάκτυλον μὲν ἢ κρητικὸν διὰ τὸ τοῦ τέλους ἀδιάφορον' καὶ τὰ ἑξῆς. — εἰπὼν περὶ τῶν κοινῶν δακτυλικῶν πάλιν περί τινων εἰδῶν τοῦ δακτυλικοῦ καὶ τέως τοῦ αἰολικοῦ φησὶ τινὰ εἴδη, σαφῶς ἀποδεικνὺς αὐτῶν καὶ τὸ μέτρον καὶ τὰ παραδείγματα. — εἶτα ἐν τῷ τέλει φησίν, ὅτι εἰσὶ καί τινα λογαοιδικὰ καλούμενα δακτυλικά, ὧν πάλιν φησὶ τὰ παραδείγματα καὶ τὰ μέτρα, σαφῆ ὄντα καὶ σχεδὸν ἐξηγήσεως μὴ δεόμενα. λογαοιδικὰ δ' ἐκλήθησαν, ἐπειδὴ ἔν τισιν ἴσα ἀμέτροις δοκοῦσιν ὡς ἐπὶ λόγου εἶναι ἄνευ τινὸς μέτρου, διὰ τὸ ἄρρυθμον. —

Caput VIII.

[[Πρᾶξις ς'.]]

Περὶ ἀναπαιστικοῦ.

Τὸ [[δὲ]] ἀναπαιστικὸν κατὰ πᾶσαν χώραν δέχεται ἀνάπαιστον καὶ σπονδεῖον, σπανίως δὲ καὶ τὸν προκελευσματικόν, παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ δάκτυλον. κατὰ δὲ συζυγίαν διαιρεῖται. εἰσὶ δὲ αὐτοῦ ἀποθέσεις ἕξ'. — [προκελευσματικὸς δὲ ἐστὶν ὁ ἐκ τεσσάρων βραχειῶν]. — Εἰπὼν [[δὲ]] περὶ [[τοῦ]] δακτυλικοῦ ἀναλόγῳ τάξει κέχρηται περὶ τοῦ ἀντιπαθοῦς διαλαμβάνων, λέγω [[δὲ]] τοῦ ἀναπαιστικοῦ [[ἐκ δύο βραχειῶν καὶ μακρᾶς λαμβανομένου]]. εἶτα λέγει σαφῶς αὐτός, πόθεν σύγκειται, ὅτι ἓξ ἔχει ἀποθέσεις ἤτοι καταλήξεις, † καὶ ἀριθμῶν ἀντιπαραφέρει καὶ τὰς χρήσεις. — εἶτα δείκνυσιν, ὅτι τὸ τετράμετρον

---

1 τέλειον *KS*, τέλειον ωσώδα (*sic, litteris* ωσώ *in rasura scriptis*) U^1 ‖ δὲ *KS*, *om. U* ‖ τοῦ δὲ] *fol.* 46ᵛ *S* ‖ καταληκτικοῦ παραφέρει *U* ‖ 2 παραδείγματα *U*, παράδειγμα *KS* ‖ 3 *addidit* K^2 *in margine, item* U^2 *in margine* ‖ 4 δ' *K*, δὲ *SU* ‖ τὸν *KS*, τὰν *U* ‖ 5 δισυλλάβων *KS*, συλλάβων *U* ‖ 5—7 *verba* ἢ σπονδεῖον — ἀδιάφορον *om. U* ‖ 6 ἀπόθεσιν *K littera* ν *a* K^2 *correctione effecta* ‖ 7 διὰ *Hephaestion*, καὶ *KS* ‖ 8 πάλιν *om. U* ‖ δακτικοῦ *U* ‖ καὶ τέως *coniecturis temptare nolui* ‖ αἰωλικοῦ *U* ‖ φησὶ K^2, φασὶ K^1 ‖ 9 τινα εἴδη σαφῶς ἀποδείγματα αὐτοῦ καὶ *U* ‖ 10 ὅτι εἰσὶ *om. U* ‖ 11 σαφῆ ὄντα καὶ σχεδὸν *KS*, τοιαῦτα ὄντα *U* ‖ 12 λογαοιδικὰ *U littera* ὰ *ex* ά *facta aut hac ex illa* ‖ ἐπεὶ δὴ *U* ‖ ἔν K^3, ἐν K^1 ‖ ἴσα K^2S, ἴσα K^1, εἰσιν *U* ‖ ἀμέτροις K^3S, μέτροις K^1U ‖ 13 δοκοῦσι ὡς ἐπιλόγων *U* ‖ *verba* ἄνευ τινὸς μέτρου *fortasse delenda sunt* ‖ διὰ *U* ‖ ἄρυθμον *KS*, εὐρήθμιον *U* ‖ 15 πραξις *U* ‖ 16 *addidit* K^2 *in margine* ‖ περι *U* ‖ 17 χῶραν *K* ‖ 18 τὸν *om. U* ‖ 18—19 *verba* παρὰ — ἕξ *om. U* ‖ 18 παρὰ *K* (*per scripturae compendium*), περὶ *S* ‖ 19 ἀποθέσεις] *fol.* 58ᵛ *K* ‖ 20 *verba* προκελ. — — βραχειῶν *delevi* ‖ προκελευσματικός ἐστιν *U* ‖ ἐστὶ *S* ‖ Εἰπὼν* *K* ‖ 21 τάξει *KS*, πράξει *U* ‖ διαλαμβάνων *U littera* μ *inter scribendum ex* β *correcta* ‖ 23 ὅτι *KS*, ὁ *U* ‖ ἀποθέσεις ἤτοι καταλήξεις *KS*, ἀπαριθμήσεις *U* ‖ 23—24 καὶ ἀριθμῶν ἀντιπαραφέρει *KS*, καὶ ἀριθμὸν ἀντιπαραφέρει *U; haec corrupta sunt* (*in K versus exit in* καταλήξεις, *vocabulum* καὶ *autem a* K^1 ? *praefixum est in margine verbo* ἀριθμῶν); *suspicari possis* καὶ ἀριθμὸν αὐτῶν περιφέρει ‖ 24 ὅτι τὸ *KS*, ὅτι *U*

τροχιαμβικῷ· ἐκ τροχαίου γὰρ καὶ ἰάμβου σύγκειται. εἴπομεν δὲ καὶ ἀνωτέρω, ὅτι λέγεται παρά τισιν ὁ τροχαῖος καὶ χορεῖος. —

δεῦτε νυν ἄβραι Χάριτες (Heph. p. 31, 5; Sapph. fr. 60 Bergk).

Ἰστέον δὲ ὅτι βραχὺ ἐστὶν ἐνταῦθα τὸ νῦν ὡς [[καὶ]] ἐν τῷ

δεῦρό νυν, [[ἢ τρίποδος περιδώμεθα ἠὲ λέβητος (Ψ 485)

καὶ πάλιν

πρῶτά νυν Ὀρφῆος μνησώμεθα (Apoll. Rhod. I 23)

καὶ ἐγκλίνεται τὸ νῦν.]] —

'Φίλικος δὲ ὁ Κερκυραῖος εἷς ὢν τῆς Πλειάδος' [[καὶ τὰ ἑξῆς]]. ἰστέον ὅτι ἐπὶ τῶν χρόνων Πτολεμαίου τοῦ Φιλαδέλφου ἑπτὰ ἄριστοι γεγόνασι τραγικοί, οὓς Πλειάδα ἐκάλεσαν διὰ τὸ λαμπροὺς εἶναι ἐν τῇ τραγικῇ ὡς τὰ ἄστρα τῆς Πλειάδος. εἰσὶ δὲ οὗτοι· Ὅμηρος, οὐχ ὁ ποιητής (περὶ τραγικῶν γὰρ ὁ λόγος), ἀλλ' ὁ Μυροῦς τῆς ποιητρίας υἱὸς τῆς Βυζαντίας, καὶ Σωσίθεος καὶ Λυκόφρων
182, 13—23 (199, g) καὶ Ἀλέξανδρος, Αἰαντιάδης, Σωσιφάνης καὶ οὗτος ὁ Φίλικος. τινὲς ἀντὶ τοῦ Αἰαντιάδου καὶ Σωσιφάνους Διονυσιάδην καὶ Εὐφρόνιον τῇ Πλειάδι συντάττουσιν. οὗτος δ' ὁ Φίλικος οὐκ ἐφεῦρε πρῶτος τὸ τοιοῦτον μέτρον, ἀλλ', ὥς φησιν ὁ μετρικός, πρῶτος ὅλα οἱονεὶ ὁλόκληρα ποιήματα ἐκ τούτου τοῦ μέτρου ἐποίησεν. αὕτη δ' ἡ χρῆσις ἣν περιφέρει αὐτοῦ οὐκ ἔστι στίχος, ἀλλὰ περίοδος· ὑπερβαίνει γὰρ τὸ δυοκαιτριακοντάσημον· ἡ δὲ Καλλιμάχου πεντάμετρος οὖσα οὐχ ὑπερβαίνει. Ἰστέον δ' ὅτι οὐδέποτε τριακονταδύο χρόνους ὑπερβαίνει [[τὸ]] μέτρον, ἐπεὶ εἰς περίοδον ἐμπίπτει. —

---

1 τροχ*ιαμβικῶ *K*, τροχαίμβικῶ *U* || γὰρ καὶ ἰάμβου σύγκειται *KS*, καὶ ἰαμβικοῦ σύγκειται γὰρ *U* || 2 παρα τισὶν *U* || χορεῖος *K*², χωρεῖος? *K*¹ || 3 νυν *K et Hephaestionis codex K*, νῦν *SU et Hephaestionis codices ACSMH* || ἄβραι *KS*, αἱ μακραὶ *U* || 4 δὲ *om. U* || βραχύ ἐστιν ἐνταῦτα *U* || νῦν *K*³, νῦν *K*¹*U* || 5 δεῦρο νῦν *U* (*conf. Iacobus La Roche 'die Homerische Textkritik im Alterthum' pag.* 318), δεῦτε νυν *K* (*cum rasura supra* ε) *et S* || ἢ ἐλέβητος *U* || 7 μνησόμεθα *U* || 8 νῦν *U* || 9 φίλικος *U cum Hephaestione* (*nisi quod* φίλυκος *eius codex C et* φίληκος *eiusdem M*), Φιλίσκος *KS* || δὲ *KS*, δ' *U* || ἑξῆς *U* || 10 ἐπι *U* || τραγιγικοὶ *U* || 11 πλειάδα *U*, πλειάδας *KS* || δια *U* || 11—12 τῆς πλειάδος *U*, τὰς πλειάδας *KS* || 12 οὐχ' *KU* || περι *U* || 13 ὁ Μυροῦς *in 'scholiis Hephaestioneis B' pag.* 17, 20 *coniecit Potter*, ὁ μυροῦς *U*, ὁμηροῦς *an* ὁ μηροῦς *incertum K*, ὁ μηροῦς *S*, ὁ μηροῦς *et* ὁμηροῦς *codices 'scholiorum B'* || ποιητρίας υἱὸς τῆς βυζαντίας *KS*, βυζαντίας υἱὸς ποιητρίας *U* || σωσίθεος *KS*, σωσί *in versus fine U* || 14—16 *pro verbis* Αἰαντιάδης — συντάττουσιν *U nihil habet nisi haec:* καὶ οὗτος ὁ φίλικος καὶ διονυσιάδης καὶ εὐφρόνιος || 14 σωσιφάνης] *fol.* 59ʳ *K* || οὗτος *K littera ultima a K*² *correctione effecta* || φιλίσκος *KS* || 16 φίλικος *U*, φιλίσκος *KS* || ἐφεῦρε *U* || τοιοῦτο *ex* τοιοῦτον *per rasuram factum K* || 17 φησι μετρικὸς *an* φησιν μετρικὸς *incertum U* || οἱονεὶ *KU*, οἱονεὶ εἰς *S*, οἱονεὶ ὡς *Caesar* || 18 δ' *KS*, δὲ *U* || χρήσις *U* || παραφέρει *U* || οὐκέστι στιχος *U* || 19 γὰρ *om. U* || δύο καὶ τριακοντάσημον *K*¹ *ante rasuram*, δυοτριακοντάσημον *K*³ (*an K*²) *et S*, δύο καὶ τριάκοντάσημον *U* || 20 οὐχ' *KU* || δ' *KS*, γὰρ *U* || τριάκονταδύο *U* || 21 ὑπερβαίνει *K*³, ὑπερβαίνοι? *K*¹ || 21 *K*² *in margine adscripsit:* λείπει περὶ χοριαμβικοῦ, *sub quibus verbis K*³ *in margine addit* καὶ ἄφες τόπον. *paulo infra in alia parte marginum eadem manus repetit verba* ἄφες τόπον

ὅτε δὲ καταληκτικὸν καὶ ταῖς ἰαμβικαῖς ἑπομένην συζυγίαις. — τρέπεται δὲ ὁ πρῶτος ποὺς ἔστιν ὅτε, ὥς φησιν, εἰς τὰ δ' σχήματα τοῦ δισυλλάβου, οἱονεὶ πυρρίχιον καὶ σπονδεῖον καὶ ἴαμβον καὶ τροχαῖον· καθόλου γὰρ ὁ πρῶτος ποὺς ἄλογός ἐστι καὶ ἄτακτος. ἔστι δ' ὅτε αὐτὸς ὁ πρῶτος ποὺς σπονδεῖος ὢν δυνάμει λύεται εἰς δάκτυλον, τῆς δευτέρας συλλαβῆς τοῦ σπονδείου διαλυομένης εἰς δύο βραχείας, ἢ ἐκ τοῦ ἐναντίου εἰς ἀνάπαιστον, τῆς πρώτης συλλαβῆς πάλιν διαλυομένης· ὁ δὲ τροχαῖος καὶ ὁ ἴαμβος εἰς τρίβραχυν, τῆς μακρᾶς πάλιν εἰς δύο βραχείας διαλυομένης· ὁ γὰρ πυρρίχιος ἐκ δύο βραχειῶν συγκείμενος οὐκ εἶχεν εἰς τί διαλύεσθαι. —

184, 11—20 (59) 'Ἐὰν δὲ ἀναμίσγηται ταῖς ἰαμβικαῖς τὰ ἀντισπαστικά, οὐ μόνον ἔχει τὴν πρώτην συζυγίαν τρεπομένην κατὰ τὸν πόδα τὸν πρότερον, ἀλλὰ καὶ τὴν ταῖς ἰαμβικαῖς ἑπομένην'. ὃ [[δὲ]] θέλει εἰπεῖν τοιοῦτον ἐστίν· ὅτι συμβαίνει τὰ ἀντισπαστικὰ οὐ μόνον τὴν πρώτην συζυγίαν παρανομεῖν, ἀλλ' ἐὰν ἐπιμίσγηται αὐτοῖς βάσις ἰαμβική, ἡ ἑπομένη τῇ ἰαμβικῇ παρανομηθήσεται παρὰ τὴν ἄρχουσαν· ὅτε δ' οὐκ ἀναμίσγονται αὐτῷ τὰ ἰαμβικά, καθαρεύει περὶ τὰς ἑξῆς ὁ ἀντίσπαστος. —

'Πενθημιμερές, τὸ καλούμενον δοχμιακόν, οἷον
κλύειν μαίεται
τὸν ἐγχώριον (Heph. p. 33, 3 sq.)'

καὶ τὰ ἑξῆς. τοῦτο κατὰ πόδα μετρεῖται. δύο γάρ εἰσι κῶλα, ἵνα σύγκειται ἀπὸ [[τοῦ]] ἀντισπάστου καὶ πυρριχίου, ἤγουν συλλαβῆς μακρᾶς διαλυθείσης
185, 3—26 (60) εἰς δύο βραχείας. — ἰστέον γάρ, ὅτι τὸ δοχμιακὸν σύγκειται ἐξ ἀντισπάστου καὶ συλλαβῆς, ὡς πρὸς τὸν μετρικὸν χαρακτῆρα. οἱ μέντοι ῥυθμικοὶ τὸ πᾶν μέτρον ὡς μίαν συζυγίαν λαμβάνοντες δοχμιακὸν ὀνομάζουσι διὰ τὴν τοιαύτην

1 ἑπομένην *scripsi*, ἑπόμενον K^1, ἑπόμενον K^3SU; *etiam haec in 'scholiis Hephaestioneis A' pag.* 183, 7 *sq. perversa leguntur sic:* ὅτε δὲ καταληκτικὸν τὴν ταῖς ἰαμβικαῖς ἑπομένην συζυγίαν (*AKSCM*); *in scholiorum archetypo ante* τὴν *lacunam fuisse* (*conf. Rhein. Mus.* XXXVI, 295), *hunc autem scriptorem mendosa ipsum et legisse et scripsisse constat; itaque Westphal quae protulit, ea ipsius, non scriptoris verba sunt* ‖ 2 τὰ *KS, om. U* ‖ 3 ἴαμβον *U* ‖ καθ' ὅλου *U* ‖ 3—4 ὁ πρῶτος ποὺς ἄλλό ἐστι *KS*, ἄλογός ἐστιν ὁ πρῶτος ποὺς *U* ‖ 4 ὢν *KS*, ὤν *U* ‖ 5 λύεται] *fol.* 59ᵛ *K* ‖ διάλυομένης *U* ‖ 6 δύο *U*, β' *KS* ‖ ἢ *U* ‖ 7 διαλυομένης *U litteris* δια *supra lineam scriptis* ‖ ὁ ἴαμβος *KS*, ἴαμβος *U* ‖ 8 διάλυομένης *U* ‖ ἐκ δύο *U*, ἐκ β' *KS* ‖ 9 εἶχεν *KS*, εἶπεν *U* ‖ διάλύεσθαι *U* ‖ 10 ἀντὶ σπαστικά *U* ‖ 11 πόδα τὸν δεύτερον *KS*, πρότερον πόδα *U cum Hephaestione* ‖ τὴν *U, om. KS* ‖ 12 εἰπεῖν *KU*, πεῖν *S* ‖ τοιοῦτον ἐστὶν ? K^1, τοιοῦτόν ἐστιν K^3S, τοιοῦτόν ἐστὶν *U* ‖ ἐστιν] *fol.* 48ʳ *S* ‖ 13 μόνην *U* ‖ ἐπισμίγηται *U* ‖ 14 βάσις ἰαμβικὴ *KS*, ἰαμβικὴ βάσις (*ex* βάσεις *factum*) *U* ‖ ἡ *Westphal*, καὶ *U, om. KS* ‖ ἰαμβικῇ *ex* ἰαμβικὴ *factum U* ‖ παρανομηθήσεται *KSU*, παρανομοθήσεται *Gaisford* ‖ παρὰ *KS*, περὶ *U* ‖ 15 οὐκ ἀναμίσγονται K^3SU, οὐκαναμίσγονται ? K^1 ‖ καθαρεύει *K litteris* εύε *a* K^2 *correctione effectis* ‖ τὰς *KS*, τὰ *U* ‖ 17 τὸ *KS*, δὲ τὸ *U* ‖ δοχμιακὸν *K litteris* ακὸν *a* K^2 *correctione effectis* ‖ 18 μαίεται *KSU*, μαίετε *Hephaestionis codices AKSCMHN* ‖ 19 τὸν *KS et Hephaestionis codices plerique*, τὸ *Hephaestionis codex M*, τὸ *ex* τῷ ? *rasura factum U* ‖ 20 καὶ τὰ ἑξῆς *KS, om. U* ‖ τοῦτο *ex* τοῦτον ? *factum U* ‖ πόδας *U* ‖ γὰρ *ex* γάρ *factum U* ‖ εἰσὶ *U* ‖ 21 συλλαβῆς μακρᾶς *K litteris* ῆς μ *a* K^2 ? *correctione effectis* ‖ διαλυθήσης *U* ‖ 23 ῥυθμικοὶ *U*, μετρικοὶ *KS* ‖ 23—24 πᾶν μέτρον *KS*, πεντάμετρον *U* ‖ 24 δοχμικὸν *U* ‖ δια *U*

187, 16—18 (62) [‘Φαλαίκειον καλεῖται’.] Φαλαίκειον φησὶ μέτρον, οἱονεὶ Φιλίκειον ἀπὸ Φιλίκου τοῦ προειρημένου. τὸ δὲ

χαῖρ’ ὦ χρυσόκερως βαβάκτα κήλων (Heph. p. 33, 20; fr. 321 Kock)

Κρατίνου ἐστί. —

188, 18—25 (64) ‘Τὸ δὲ δευτέραν ἰαμβικὴν ἔχον καλεῖται Πριάπειον’. Πριάπειον δὲ ἐκλήθη, ἐπειδὴ Εὐφρόνιος ὁ γραμματικὸς ἐπὶ τῶν Πτολεμαίων ἐν Ἀλεξανδρείᾳ ἔγραψεν εἰς Πρίαπον τούτῳ τῷ μέτρῳ· καὶ ὥσπερ τὸ ἰθυφαλλικὸν ἐκλήθη ἐπιτήδειον ὂν εἰς τὸν Διόνυσον, οὕτω καὶ τὸ Πριάπειον. ἰστέον δέ, ὅτι τούτου τοῦ Εὐφρονίου γέγονεν ἀκροατὴς Ἀρίσταρχος ὁ γραμματικός, οὐ μόνον Ἀριστοφάνους τοῦ Βυζαντίου. —

‘Κρονίδα βασιλῆος γένος Αἴαν τὸν ἄριστον παῖδα Ἀχιλλέως’ (Heph. p. 35, 13; Alcaeus fr. 48 A Bergk).

οἱονεὶ τοῦ Κρονίδου βασιλέως γένος, τὸν Αἴαν (ἀντὶ τοῦ τὸν Αἴαντα), ἄριστον ὄντα μετὰ τὸν Ἀχιλλέα. πέδα[, ἀντὶ τοῦ μετά, ὡς τὸ (τοῦ ποιητοῦ δ’ ἔστι τοῦτο)

μετ’ ἀμύμονα Πηλείωνα (λ 470 = ω 18 = B 674 = P 280 = λ 551)].—

Caput XI.

[Πρᾶξις η΄.]

Περὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος.

‘Τὸ ἀπὸ μείζονος Ἰωνικὸν συντίθεται μὲν [καὶ καθαρόν, συντίθεται ⟨δὲ⟩ καὶ πρὸς τὰς τροχαϊκὰς ἐπίμικτον]’ καὶ τὰ ἑξῆς. —

189, 17 — 191, 3 (66 sq.) Ζητεῖται διὰ τί μὴ μετὰ τὸ ἀντισπαστικὸν εὐθὺς τοῦ ἀπ’ ἐλάσσονος

1 φαλαικειον καλεῖται *U, om. KS* ‖ (*altero loco*) Φαλαίκειον *U cum Hephaestione*, Φαλλαίκειον *KS* ‖ (*sub finem*) φιλικειον *U*, φιλήκειον *KS* ‖ ἀπο *K* ‖ 2 φιλίκου *U*, φιλήκου *KS* ‖ 3 χαῖρὼ *U* ‖ χρυσόκερως *ex* χρυσωκέρως *? correctum K* ‖ 5 δευτέραν ἰαμβικὴν *U*, τὴν δευτέραν ἰαμβικὴν *Hephaestion*, δεύτερον ἰαμβικὸν *KS* ‖ (*sub finem*) δὲ *KS, om. U* ‖ 6 εὐφρόνιος *U*; εὐφορίων *S, item K litteris* ορίων *a K² in rasura scriptis, ab* εὐφρ *incepisse videtur K¹; atque* (6 *sqq.*) *non Euphorionem, sed Euphronium hunc esse suspicatus est iam Bergk* ‖ ἐπι τὸν πτολεμαῖον *U* ‖ ἀλέξανδρεία *U*, ἀλεξάνδρα *KS* ‖ 7 πρίαπον *K littera prima correctione effecta*, πρίαμον *U* ‖ τούτῳ τῷ μέτρῳ *scripsi*, τοῦτο τὸ μέτρον *KS*, τοῦτο γὰρ τὸ μέτρον *U* ‖ τὸ *om. U* ‖ 8 ὂν *KS*, ὂν *U* ‖ 9 εὐφρονίου *U*; εὐφορίωνος *S, item K litteris* ορίωνος *a K²? correctione effectis* ‖ ἀκροάτης *U* ‖ 9 *sq.* ἀριστοφάνους τοῦ βιζαντίου *U*, ἀριστοφάνης τοῦ (*litteris* οῦ *a K² correctione? effectis*) τοῦ βυζαντίου *KS*, Ἀριστοφάνης ὁ Βυζάντιος *Bergk* ‖ 11 βασιλῆ.ος *U littera* ι *ex* η *facta* ‖ 11—13 *verba* αἴαν — γένος *om. U* ‖ 11 αἴαν τὸν ἄριστον παῖδα ἀχιλλέως *KS*, αἴαν τὸν ἄριστον παῖδ’ ἀχιλλέα *Hephaestionis codices AKSCM*, αἴαν τὸν ἀριστόπαιδ’ ἀχιλέα *eiusdem codices HN* (πέδ’ Ἀχιλλέα *Hephaestion ex coniectura Casauboni*) ‖ 13 *alterum* τοῦ *supra lineam K, om. U* ‖ 14 μετὰ *KS*, ἀντι *U* ‖ Ἀχιλλέα. πέδα *Studemund*, ἀχιλλέα παῖδα *U*, ἀχιλλέως παῖδα *KS* ‖ ἀντι *U* ‖ ποιητοῦ *U* ‖ 16 μεταμύμονα *U* ‖ 18 πάξις η *U* ‖ 19 *addidit K² in margine, item S* ‖ 20 – ⏑⏑ *supra* ἰωνικὸν *add. K³S* ‖ 21 καὶ τὰ ἑξῆς *om. U* ‖ 22 ἐζήτεῖται *U* ‖ διατί *KS*, διάτι *U* ‖ μὴ *KU, om. S* ‖ εὐθὺς τοῦ ἀπ’ *S; item K, sed* εὐθὺς τοῦ *K² in rasura;* μὴ ἀπὸ τοῦ *U*

ἤρξατο, ἀλλὰ τοῦ ἀπὸ μείζονος. καὶ φαμέν, ὅτι πρῶτον τῆς τετραδικῆς συγγενείας παρέλαβε τὸ χοριαμβικόν, οὗ συλλαβῆς ἀφαιρουμένης ἰωνικὸν ἀπ' ἐλάσσονος γίνεται, ἐξ οὗ ὁ ἀντίσπαστος, ἐξ οὗ ὁ ἰωνικὸς ἀπὸ μείζονος· ἅπαξ δὲ μετὰ τὸ χοριαμβικὸν τὸ ἀντιπαθὲς αὐτοῦ ἀντισπαστικὸν παραλαβών, πιθανῶς τοῦ ⟨ἐκ τοῦ⟩ ἀντισπαστικοῦ γενομένου κατὰ ἀφαίρεσιν ἤρξατο. — Ἰστέον δ' ὅτι τὰ ἰωνικὰ εἴωθε δέχεσθαι καὶ τροχαϊκάς, ὅτε ἐστὶ κατὰ συμπάθειαν, ὡς τὰ χοριαμβικὰ καὶ ἀντισπαστικὰ τὰς ἰαμβικάς. ἔστι δ' ὅτε καὶ ἐξ ὅλων τροχαϊκῶν σύγκειται, ὡς ἐπὶ τοῦδε

σαρκικὸν γὰρ εἶχε χρῶτα καὶ τὸ δέρμ' ὅμοιον.

διαιρεῖται δὲ ἀπὸ τοῦ τροχαϊκοῦ τῷ τε ῥυθμῷ καὶ τῇ τομῇ· τὸ γὰρ τροχαϊκὸν εἰς πενθημιμερῆ καὶ ἑφθημιμερῆ τέμνεται, τὸ δὲ ἰωνικὸν κατὰ ἁπλῶν ποδῶν. ὅταν δὲ τὸ χοριαμβικὸν λάβῃ τὰς τροχαϊκὰς ἢ τὸ ἰωνικὸν τὰς ἰαμβικάς, καλοῦνται κατὰ ἀντιπάθειαν· καὶ ὅταν μὲν τὸ χοριαμβικὸν κατ' ἀρχὴν λάβῃ τὸ τροχαϊκόν, ἐπιχοριαμβικὸν καλεῖται, ὅταν δὲ τὸ ἰωνικὸν κατ' ἀρχὴν δέξηται τὸν διίαμβον, ἐπιωνικόν ἐστιν· ἐπιαντισπαστικὸν δ' οὐκ ἔστιν, ἐπεὶ τὸ ἀντισπαστικὸν φύσιν εἶχεν ἐνίοτε καὶ ἀπὸ διτροχαίου ἄρχεσθαι, διὰ τὸ τρέπεσθαι τὴν ἀρχὴν εἰς τὰ τέσσαρα σχήματα τῶν δισυλλάβων. — [διὰ τί τὰ ἰωνικὰ δέχονται τοὺς διτροχαίους;] ἐζητεῖτο δὲ διὰ τί τὰ ἰωνικὰ ἐδέξαντο τοὺς διτροχαίους. ἐπιλυόμεθα δ' οὕτως· τοῖς ἰωνικοῖς ἐνδέουσι μετρικοὶ πόδες, εἰσὶ γὰρ ἐκ σπονδείου καὶ πυρριχίου τὰ ἰωνικά· μετρικοὶ δὲ πόδες εἰσὶ τροχαῖος ἴαμβος δάκτυλος ἀνάπαιστος, οἵτινες τῇ ποικιλίᾳ τῶν χρόνων κοσμούμενοι μέτρα ἴδια ποιοῦσιν· οὗτοι δὲ καλοῦνται μετρικοὶ καὶ ῥυθμικοὶ πόδες· τὰ δ' ἰωνικὰ μέτρα, μὴ ἔχοντα τὴν [σύνθεσιν ἐκ μετρικῶν ποδῶν, ὡς προείπομεν, ἐδεήθησαν τῶν διτροχαίων πρὸς] σύστασιν· τούτων [δ'] ἐδεήθησαν, ἐπεὶ χαῦνα εἰσὶ τὰ

---

1 ἀλλὰ *ex* ἀλλ' *correctum K*, ἀλλ' *U* ‖ τοῦ ἀπὸ *Westphal*, ἀπὸ τοῦ *KSU* ‖ 2 παρέλαβε *U*, παρέλαβες *KS* ‖ οὗ *U* ‖ συλλαβῆς *K accentu circumflexo et littera* ς *a* K^2 *correctione effectis* ‖ ἀφερουμένης *U* ‖ 2—3 ἰωνικὸν ἀπελάσσονος γίνεται *K litteris* νος γίνεται *correctione effectis*, γίνεται ἰωνικὸν ἀπ' ἐλάσσονος *U litteris* ἀπ' ἐλά *in rasura ab* U^1 *scriptis* ‖ 3 ἀπομείζονος *KU* ‖ 4 χωριαμβικὸν ἀντιπαθὲς αὐτῶ ἀνασπαστικὸν παραλαβῶν *U* ‖ 5 ⟨ἐκ τοῦ⟩ *addidit Westphal* ‖ γενομένου *K littera quarta a* K^2 *correctione effecta* ‖ δ' *KS*, οὖν *U* ‖ 6 (*initio*) τὰ *KU*, *om. S* ‖ εἴωθεν *U* ‖ ὅτ' ἐστι κατα *U* ‖ συμπάθειαν (ἐπίμικτα) *Westphal; sed conf. v.* 12—13 ‖ τα *U* ‖ 7 τὰς ἰαμβικάς *scripsi*, τὰ ἰαμβικά *KS*, καὶ τὰ ἰαμβικὰ *U* ‖ *alterum* καὶ *om. U* ‖ 9 τὰ δέρμα *U* ‖ 10 διαίρεῖται *U* ‖ τε ῥυθμῶ *KS*, ἐρυθμῶ *U* ‖ τῇ *om.* K^1, *add.* K^2 ‖ τομῇ *U*, φωνῇ *KS* ‖ 10—12 τὸ γὰρ — ποδῶν *delet Westphal* ‖ 11 πενμιμερῆ *U* ‖ ἑφθημιμερῆ *K*, εὐφημιμερῆ *U* ‖ 12 δὲ *scripsi*, δὴ *KSU* ‖ 12—13 χοριάμβικὸν λάβοι τὰς τροχικὰς ἢ τὸν ἰωνικὸν τὰς ἀμβικὰς *U* ‖ 13 (*priore loco*) κατὰ K^3, κατα K^1 ‖ 13—14 *verba* κατ' — ἰωνικὸν *om. U* ‖ 15 *τὸν *U* ‖ διΐαμβον *K*, ἴαμβον *S*, ἴαμβον *U* ‖ διΐαμβον] *fol.* 60ᵛ *K* ‖ ἐπειωνικόν *K*, ἐπὶ ἰωνικὸν *U* ‖ ἐπιω] *fol.* 49ʳ *S* ‖ (*priore loco*) ἐστιν *ex* ἐστι *correctum? K*, ἐστὶν *U* ‖ ἐπιαντισπαστικὸν *KU*, ἐπεὶ ἀντισπαστικὸν *S* ‖ 16 φύσις *U* ‖ εἶχεν *U litteris* ει *in rasura ab* U^1 *scriptis* ‖ ἀπο *U* ‖ διὰ *U* ‖ 16—17 τρέπεσθαι *U litteris* ἐπ *correctione inter scribendum effectis* ‖ 17 τὰ δ' *KS*, τέσσαρα *U* ‖ διατὶ *U* ‖ 18 δὲ *om. U* ‖ διατί *KS* ‖ ἰωνικα *U* ‖ 19 ἐπιλυόμενος *U* ‖ 19—20 εἰσὶ γὰρ *KS*, εἰσὶν οὐκ *U* ‖ 20 δὲ *om. U* ‖ 22 ἴδια *U* ‖ δὲ *om. U* ‖ ῥυθμικοὶ *U*, ἀριθμικοὶ *KS* ‖ δ' *KS*, οὖν *U* ‖ 23 μετριῶν *U* ‖ 24 σύστασιν] *fol.* 147ᵛ *U* ‖ ἐδεήθησαν *K litteris* ἐδ-α K^2 *correctione? effectis*

ἰωνικά, τὰ δὲ τροχαϊκὰ σύντονα· ὅπως οὖν κρᾶσίς τις γένηται, συνῆλθον τοῖς ἰωνικοῖς τὰ τροχαϊκά. ἅπαξ δὲ τῶν διτροχαίων ἐμπεσόντων εἰς τὰ ἰωνικά, τοῖς ἀντιπαθέσι τῶν ἰωνικῶν συνῆλθον αἱ ἰαμβικαὶ διποδίαι, φημὶ δὴ τῷ ἀντισπαστικῷ καὶ χοριαμβικῷ. —

191, 7—8 (67) 'Τὸ καλούμενον Κλεομάχειον'. ὁ Κλεόμαχος δ' οὗτος πύκτης ἦν, ἐρασθεὶς δέ ποτε νέου μετῆλθεν εἰς ποιητικήν. —

Εἶτα ἐπιφέρει ἄλλων τινῶν παραδείγματα λέγων καὶ [τὸ] πόθεν σύγκειται, ἐν οἷς περιφέρει τοῦτο τὸ Σαπφοῦς (fr. 77 Bergk)

ἀσαροτέρας οὐδαμά πὔρανα σέθεν τυχοῖσαν (Heph. p. 37, 7)

192, 19—25 (69 sq.) [καὶ τὰ ἑξῆς]. ὃ δὲ θέλει εἰπεῖν, τοιοῦτον ἐστί· βλαβερωτέρας [ἀντὶ τοῦ αὐτὴ] οὐδαμῶς πού ποτε, Εἰρήνη, σοῦ ἐπιτυχοῦσαν. ὁ πρῶτος πούς ἐστι παίων δεύτερος 'ασαροτέ'· συστέλλουσι γὰρ οἱ Αἰολεῖς τὸ ᾱ τοῦ ἄσαισιν ὡς ἐν τῷ

μή μ' ἄσαισι μήδ' ὀνίαισιν (Sapph. fr. 1, 3 Bergk).

ὥσπερ δὲ [τὸ] Ἀφροδίτη Ἀφρόδιτα φασὶ συστέλλοντες τὸ ᾱ, οὕτω καὶ τὸ εἰρήνη εἴρηνα.

Caput XII.

Περὶ ἰωνικοῦ τοῦ ἀπ' ἐλάσσονος.

'Τὸ [δὲ] ἀπ' ἐλάσσονος ἰωνικὸν συντίθεται μὲν καὶ καθαρόν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς τροχαϊκὰς διποδίας' καὶ τὰ ἑξῆς. — τοῦτο δεδήλωται ἀντιπαθὲς ὂν τῷ ἀπὸ μείζονος ἰωνικῷ. ἐκεῖνο μὲν γὰρ ἀπὸ [τοῦ] σπονδείου ἤρχετο,

---

1 κρᾶσις τίς *K*, κρᾶσις τὶς *S*, κράσις τὶς *U* ‖ γίνεται συνῆλθον *U* ‖ 3 συνῆλθον *U* | διποδίαι *KS*, καὶ ποδιαὶ *U* ‖ δὴ *KS*, δὲ *U* ‖ 4 χοριάμβικῶ *U* ‖ 5 κλεομάχος *U* | δ' *om. U* ‖ πύκτης *ex* πύκτην *correctum K* ‖ 6 δέ ποτε *KS*, δὲ δέποτε *U* ‖ μετῆλθεν *U* ‖ 8 οἷς παραφέρει τούτω *U* ‖ σαπφοῦς *ex* σαπφούς *vel* σαπφοὺς *factum U* | 9 *sic scripsi dubitanter;* ἀσαροτέρα σ' (*sic K*², ἀ*σαροτέρα σ' *K*¹, ἀσαροτέρά σ' *S*) οὐδάμ (*sic S et K*²?, οὐδαμ'? *K*¹) ἀπώρανα σέθεν τυχοῖσα (*sic K*²*S*, τυχο*σα *K*¹), ἀσαροτέρας οὐδάμάπα εἰρήνα σέθεν τυχοῦσαν *U;* ἀσαροτέρασ' οὐδάμ' ἀπ'ώρανα σέθεν τυχοῖσα (*ex* τυχοῖσα *a K*² *correctum*) *Hephaestionis codex K,* ἀσαροτέρασουδαμὰ.πὠρανα σέ.θεν τυχοῖσαν *Hephaestionis codex A;* ἀσαροτέρας οὔδαμ' ἐπ', ὦ 'ρανα, σέθεν τύχοισα *Bergk ex G. Hermanni coniectura* ‖ 10 καὶ τὰ ἑξῆς *KS, om. U* ‖ τοιοῦτον *U* ‖ ἀντὶ τοῦ αὐτὴ *KS, om. U; Bergk in margine adscriptum fuisse opinatur* ἄσα ἀντὶ τοῦ ἄτη ‖ 11 πού ποτε *U*, μου ποτὲ *KS* ‖ Εἰρήνη *Bergk*, εἰρήνης *KSU* ‖ σου *U*, σέθεν *KS* ‖ ἐπιτυχοῦσα *KS* ‖ πούς ἐστι *U* ‖ 12 ασαροτέ *K*², α*σαροτέ *K*¹, ἀσαρότερα *U littera prima inter scribendum ex* σ *facta* ‖ συστέλλουσι *U litteris* υστ *ex* υν *inter scribendum factis* ‖ οἱ αἰολεῖς *S*, °ἰαιολεῖς *U*, οἰαιλεῖς *K* ‖ ἄ*σαισιν *K*, ἄ σαί σι *U* ‖ ὡς *K*² *ex corr.* ‖ εν *U* ‖ 13 μὴ *KS* ‖ μ'] με *KSU* ‖ ἄσσαισι *K*¹, ἄσαισι *K*²*S*, ἀσαίσι *U* ‖ μὴ δ' ἠνίασιν *S et K* (*in* ἠνίασιν *spiritus lenis et litterae* νία *a K*² *correctione effecta sunt*), μὴ δονίασιν *U; eadem corruptissima in scholio Hephaestioneo codicis M* (μή με ἄσαις ἀμηδοκίαισιν), μή μ' ἄσαισι μήτ' ὀνίαισι δάμνα *Sappho, conf. infra pag.* 86, 1 ‖ 14 ἀφροδίτη *KS*, ἄ|φροδίτι *U in duarum linearum confinio* ‖ ἀφρόδιτα *K*²*S*, ἀφροδίτα *K*¹*U* ‖ φασὶ* (*fuit* φασὶν) *K* ‖ συστέλοντες *K* ‖ οὕτω *K correcta* ω *littera a K*² *ex* ος?, οὕτως *U* ‖ εἰρήνη *om. U* ‖ 15 εἴρηνα *K*²*S*, εἰρήνα *K*¹*U* ‖ 17 *addidit K*² *in margine* ‖ περι *U* ‖ 18 Τὸ*K ‖ *supra* ἰωνικὸν *K*³ *addidit:* ⏑ ⏑ – – ‖ μὲν καὶ *KS*, μὲν *U* ‖ 19 *verba* διποδίας καὶ τὰ ἑξῆς *om. U* ‖ 19—20 ἀντὶ παθὲς *U* ‖ 20 ἀπομείζονος *K*

Caput XIII.

[[Πρᾶξις θ'.]]

Περὶ παιωνικοῦ.

'Τὸ [[δὲ]] παιωνικὸν εἴδη μὲν ἔχει τρία, τό τε κρητικὸν καὶ τὸ βακχειακὸν καὶ τὸ παλιμβακχειακόν' καὶ τὰ ἑξῆς. —

εἰς οὓς ἐνιεὶς τῆς ἐμῆς εὐχῆς ἔπη.
ξάνοις ξένοις ξύναξιν ἢ ξαίνει ξένων.
ἄτην ἀνεὶς ἄνοιαν ἰαύσεις ἄνων.
ἕλεων ἰχθύϊ σῶν ἵρων ἴσας (*sic an* ἴσθ' *M*) ἴδοις.
σέβας σεβαστῶν καὶ σέβας σεβασμίων.
ἐπῶν ἔχεις ἓν νῦν ἐρεῖν ἐνηέων.
βαρεῖ (σαρεῖ *ex* βαρεῖ *factum M*) βαρήβων ὃς βιοῖ βίον βίας.
(*deest in M unus trimeter a littera α incipiens*)
σῶσαι σεβαστὲ σπεῦσον ὡς σῶσαι θέλων.
τρέμω, τρόμον τίναττε σοῦ τόνου τάσει.
ἕως ἔχεις εὖ τὴν ἐμὴν εὔοις ἕω.
τὴν κατάρατον εὐτόνως τέμνων τίσιν.
ὅσιος ὢν ὄρθιον εἰς οἴκους τ' ὄρα.
βίου βάσιν βὰς ὄλβιον βίου βίον.
ῥῶσιν ῥίγους ῥεστειρα (*sic*) σὴ ῥῆσις ῥάνοι.
ἅρεις ἀνίας ἀάτων ἀχθῶν ἄνω.
χαρὰ χάριν σχεῖν τὴν χάριν χαίρων χέε.
ὑσθεὶς ὅλαις ὕς πῶς ὕμνων | ὄδειν.
σχοίη σθένος σὲ φράσον ἀσθενῶν σθένος.
πολλοῦ πόνου πλοῦν δυσπόντου | πλέειν.
ὁ νοῦς ὁ θεῖος, πῶς ὀνεῖν ὀκνεῖς ὅλως.
δοις ὑπ' ἠὼν αὐτῆς ὅλην ὕμνων.
δινῶν δίνη δὴ, μὴ, δινεῖν δόλους δίδου.
αἰνῶν ἅταν αἴτια, πᾶς αἴνων ἄνω.
στένων στένωσιν ἣν σύ μοι σβέσαι σθένεις.
μόρος μέριμναι τῆς μονῆς μοι καὶ μόναι.
αὐτῶν ἅλις ἅλυας οὖν ἄλλους ἄνες.
μᾶλλον μόλει μοι σύμμαχος μάκαρ μέγας.
ὅπως ὄναιο ὀνείνων οἴων ὅλων.
ἵζειν ἰλύϊ τὴν ἰτῶν ἴσχων ἕλην.

verba codicis M corrupta transcribere malui quam hic illic emendandi periculum facere ‖ [129]) *hunc titulum suo loco habet M, om. K¹*, περὶ τοῦ ἰαμβικοῦ μέτρου *K² in margine* ‖ [130]) καὶ *M*, καὶ καὶ *K* ‖ [131]) ἑξάμετρον *K* ‖ [132]) διαιρεῖσαι *M* ‖ [133]) τῇ *addit M*

[134]Τοῦ δὲ ἰαμβικοῦ μέτρου χαρακτῆρες εἰσὶ τέσσαρες· τραγικός, κωμικός, σατυρικός, ἰαμβικός.

Τραγικοῦ ἴδιον τὸ ἐκ σπονδείων καὶ ἰάμβων συγκεῖσθαι, ἐνίοτε δὲ[135] καὶ ἐξ ἑνὸς τρισυλλάβου, ὡς τὸ

ἥκω. Διὸς. παῖς τήν.δε Θη.βαίων. χθόνα.

Διόνυ.σος ὃν[136]. τίκτει. ποθ' ἡ. Κάδμου. κόρη ⟨Eur. Bacch. 1. 2⟩.

Κωμικοῦ ἴδιον τὸ ἐκ τρισυλλάβων ὡς ἐπὶ τὸ[137] πλεῖστον συγκεῖσθαι, ὡς τὸ

ἢ φρένα. μὲν οὐκ. ἐθέλου.σαν ὀμό.σαι καθ' ἱ.ερῶν[138] ⟨Aristoph. Ran. 101⟩.

[139]Σατυρικοῦ ἴδιον τὸ μέσον τραγικοῦ καὶ κωμικοῦ, οἷον

ἦν δ' ἄγκος[140] ὑψίκρημνον ὄρεσι περίδρομον ⟨Eur. Bacch. 1051⟩.

Ἰαμβικοῦ ἴδιον τὸ ἐκ δύο συλλαβῶν συγκεῖσθαι, καί, εἰ δυνατόν, [141]ἐξ ἰάμβου, οἷον

πάτερ Λυκάμβα[142], ποῖον ἐφράσω[143] τόδε ⟨conf. Bergk. Poet. Lyr. II[4] pag. 436⟩.

Ἔστι[144] καὶ ἕτερον ἰαμβικὸν μέτρον. τούτῳ δὲ[145] ὀλίγοι τῶν παλαιῶν ἐχρήσαντο. δέχεται δὲ τοῦτο ἐν μὲν τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ βάσει ἢ ἴαμβον ἢ σπονδεῖον, ἐν δὲ τῇ δευτέρᾳ καὶ τετάρτῃ ἴαμβον μόνον, ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον, οἷον

κτείνει. με ⟨. . . . . .⟩[146].

Ἴαμβος δὲ καλεῖται, ὅτιπερ οἱ ὑβρίζειν τινὰς[147] καὶ λοιδορεῖν βουλόμενοι τούτῳ τῷ μέτρῳ ἐχρῶντο· ἰαμβίζειν γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ ὑβρίζειν. ⟨ἢ⟩ παρὰ τὸ ἰὸν βάζειν, τουτέστιν ἰοῦ καὶ πικρίας ἀνάμεστα φράζειν ῥήματα. ἢ ἀπὸ Ἰάμβης τινὸς γυναικὸς οὕτω καλουμένης, ἥτις αἰσχρῶς ὑβρισθεῖσα τὸν βίον ἐν ἀγχόνῃ κατέστρεψεν[148].

§ 11.

Περὶ τοῦ ἡρωελεγείου.

[149]Οὐκ ἐθέ.λω πλου.τεῖν οὐ.δ' εὔχομαι. ἀλλά μοι. εἴη:

[150]ζῆν ἐκ. τῶν ὀλί.γων. μηδὲν ἔ.χοντα[151] κα.κόν: ⟨Theognis [1155 sq.] in Anth. Pal. X 113⟩.

---

134) *ad ea quae sequuntur conf. Mangelsdorfium Anecd. Chisian. pag.* 26 *sq. et* 34 *sq.* ‖ 135) δὲ *ex* δὲ *radendo factum K* ‖ 136) δν *K* ‖ 137) ἐπιτο *M*, ἐπιτο *ex* ἐπιτὸ *radendo factum K* ‖ 138) μὲν, οὐκεθέλουσα ὁ.μόσαι. καθ' ἱερῶν *K*; μὲν, οὐκ ἐθέ.λουσα ὁ.μόσαι. καθ' ἱερῶν *M* ‖ 139) *incipit fol.* 157r *K* ‖ 140) ἡ δ' ἄγγος *K*, ἡδαγγος *M* ‖ 141) *incipit fol.* 167v *M* ‖ 142) λυκαβᾶ *K*[1]*M*, λυκάβα *K*[2] ‖ 143) ἐφράσω *K*[2], ἐφρὰς *K*[1]*M* ‖ 144) *una duaeve litterae erasae sunt in K* ‖ 145) δὲ *ex* δὲ *radendo factum K* ‖ 146) *post* με *in M est spatium vacuum fere* 36 *litterarum, nullum spatium in K* ‖ 147) ὑβρίζειν τινὰς *K ita ut litterae* ειν τιν *ex* οντα *correctae sint* ‖ 148) κατέστρεψε *M* ‖ 149) ἡρωϊ (*compendii signo ad* ι *adfixo*) *superscriptum habet M* ‖ 150) ἐλῖ *superscriptum habet M*, ἐλλῖ *cum linea transversa in inferiore tertiae litterae parte K* ‖ 151) ἔχοντι *KM*

[152]Σκηνὴ. πᾶς ὁ βί.ος καὶ. παίγνιον. ἢ μάθε. παίζειν:
[153]τὴν σπου.δὴν μετα.θεὶς[154]. ἢ φέρε. τὰς ὁδύ.νας[155]: ⟨Palladas in Anth. Pal. X 72⟩·

Τὸ γὰρ ἐλεγεῖον ἐκ δύο πενθημιμερῶν[156] σύγκειται, τουτέστιν ἐκ δύο ποδῶν καὶ μιᾶς συλλαβῆς ἀπαρτιζούσης εἰς μέρος λόγου· ὡς καὶ τοῦτο, οἷον

ὀκτὼ. στοιχεί.ων. πνεύματα. γραψάμε.νος[157]: ⟨Theodoret. in annal. philol. a. 1880 pag. 791⟩.

Reliqua pars folii 157[r] et folium 157[v] et folia 158—161 codicis *K* scriptura vacua relicta erant saeculo XIV. Foliis 146—161 efficiuntur duo quaterniones (fol. 146—153; 154—161).

CAPVT SEPTIMVM.

I. Michaelis Pselli carmen de metro iambico.

II. Ioannis Botaniatae carmen de metro iambico.

I. Supra (pag. 185 in adnotatione) mentionem feci versuum Pselli de metro iambico in codice Ambrosiano A 110 ord. sup. exstantium. Eidem sunt sine dubio atque septemdecim illi Pselli versus, qui teste Henrico Coxe in Catalogi codd. mss. bibliothecae Bodleianae part. I pag. 201 insunt in codicis Barocciani 125 saec. XVI ineunt. folio 81[v]: τοῦ σοφωτάτου Ψελλοῦ στίχοι ὅμοιοι περὶ τοῦ ἰαμβικοῦ μέτρου, inc.: τὸ μέτρον οὕτω τῶν ἰάμβων μοι μέτρει, | καὶ τοὺς πόδας μὲν ἡ μέλισσα δεικνύτω. Eosdem versus ex codicis Vindobonensis theol. CCLXXXVII chartacei saeculi XV (nobis *V*) folio 25[r] (de quo codice conf. Danielem de Nessel in Catalogi bibl. Caesareae part. I pag. 392) a me rogatus humanissime transcripsit Carolus Schenkl amicus doctissimus. Verba haec sunt in *V* (iota subscripta desunt pleraque).

Τοῦ σοφωτάτου Ψελλοῦ
στίχοι ὅμοιοι περὶ τοῦ ἰαμβικοῦ μέτρου.

Τὸ μέτρον οὕτω τῶν ἰάμβων μοι μέτρει.
καὶ τοὺς πόδας μὲν ἡ μέλισσα δεικνύτω,
τῶν συλλαβῶν δὲ τὴν ἀρίθμησιν κύκλον
τὸν ζῳδιακὸν εἰσορῶν μάνθανέ μοι.

---

152) ἡρῶ (*cum signo compendii in inferiore secundae litterae parte*) *superscriptum habent KM* ‖ 153) ἐλ[ετ]ῖ (*cum signo compendii in inferiore secundae litterae parte*) *superscriptum habent KM* ‖ 154) ματα.θεὶς. *K* ‖ 155) ὀδύνας *KM* ‖ 156) πενθημερῶν *M* ‖ 157) γραψάμενος *K* ‖ 157) *K*[2] *addit* τέλος, *atque hoc vocabulum ultimum est codicis K. In M statim haec sequuntur grammatica*: Τοῦ, τοῦ σερρῶν (*i. e. Nicetae Serrarum episcopi*): Ἔφης, ὦ φίλε Μιχαήλ μόνα με τῶν ἁπάντων. διὰ τοῦ ἵα θηλυκὰ μὴ παραδεδωκέναι *etc.*

5 μέλλων δὲ μετρεῖν καὶ στίχους πλέκειν. φίλος,
ἅπασαν ἐν νῷ τοῦ σκοποῦ τὴν εἰκόνα
προσλαμβάνων ἄριστα καὶ στίχους πλέκε.
πρῶτον μὲν οὖν καὶ τρίτον ἢ πέμπτον πόδα
ἴαμβον ἢ σπονδεῖον εὐτρεπιζέτω,
10 τὸν δεύτερον δὲ καὶ τέταρτον ἀξίως
ἴαμβον ἁπλοῦν εἰσφέρων ἀπαρτίσεις,
ἕκτος δ' ἰάμβου τέρπεται κόσμον φέρων
καὶ πυρριχίῳ τὴν κάραν ὑψοῦ φέρει.
ἔστωσαν οὖν σοι πυρρίχιος μὲν λόγος,
15 σπονδεῖος Ἄτλας ἐκ μακρῶν δύο χρόνων,
χάλης δ' ἴαμβος καὶ λάβης αὖ καὶ θέων.
ἰδοὺ τὸ πᾶν εἴληφας ἐν βραχεῖ μέτρῳ.

Ad versum 2 hoc scholion in codicis *V* margine a V^1 rubro adscriptum est:

Εἰ βούλει, φησί, μαθεῖν, πόσας συλλαβὰς καὶ πόσους[1] πόδας ἔχει τὸ ἰαμβικὸν μέτρον, δι' ὧν χρὴ μετρεῖν αὐτό, τοὺς μὲν πόδας ἤγουν τὸν ἀριθμὸν τῶν τοῦ στίχου ποδῶν ἡ μέλισσα[2] ὑποδείξαι σοι. ὅσους γὰρ πόδας ἡ μέλισσα[3] ἔχει, τούτους καὶ ὁ ἰαμβικὸς στίχος· ἓξ γὰρ ἔχει ἐκείνη, ὡσαύτως καὶ οὗτος. εἰ δὲ τὰς συλλαβὰς γνῶναι ἐθέλεις, ὁπόσας χρὴ καὶ αὐτὰς εἶναι, ἐκ τοῦ ζῳδιακοῦ κύκλου τούτους μαθήσῃ· δώδεκα γὰρ ζῴδια φέρει ἐκεῖνος, καὶ δώδεκα συλλαβὰς ὁ ἰαμβικὸς στίχος.

II. Commemoravi supra (pag. 160), ubi de codice Parisino 1773 auctore Hoerschelmanno rettuli, Ioannis Botaniatae de metro iambico carmen sollemni apud Byzantinos numero centum (conf. vers. 99) versuum constans adhuc ineditum. Hoc carmen, cuius doctrina artiore vinculo cum Pseudo-Draconis (conf. inprimis pag. 162, 10 sqq.; 147, 5 sqq.; 148, 5 sqq.) fonte quam cum ceteris de re metrica scriptoribus cohaerere videtur, ipse Romae anno 1866 descripsi ex codice Chisiano miscellaneo R IV 11 saeculo XIV ineunte manu tachygraphi exarato, de quo codice uberius egit Guilelmus Mangelsdorf (Anecdota Chisiana de re metrica, Carolsruhae 1876; conf. inprimis pag. 29). Legitur hoc carmen in codice Chisiano (nobis *C*) inde a folio 57ᵛ hoc titulo insignitum: Ἰωάννου νομικ(οῦ) Κρήτης τοῦ Βοτανειάτου, πρὸς Ἰσίδωρον διάκονον καὶ νομικὸν τῆς Χίου τὸν Κριτάκην στίχοι ἑκατὸν τὸ ἰαμβικὸν διασαφοῦντες μέτρον.

A codicis *C* contextu aliquantum recedunt libri Parisinus 1773 saec. XV (nobis *P*) et Laurentianus LVIII 2 saec. XV (nobis *L*), quorum codicum artius inter se cognatorum ille multo levioribus quam hic mendis inquinatus est.

Psell. 9 ἴαμβον ἢ σπονδεῖον *ex* ἴαμβος ἢ σπονδεῖος *correctum* V^1 ‖ 14 λόγος *V* ‖ 15 σπονδαῖος *V* ‖ 16 χάλης *V, quod vario modo emendare licet.*

1) πόσας *V* ‖ 2) ἡ μέλισσα] ἡμέλησα *V cum correctione* ‖ 3) ἡ μέλισσα] ἡμέλησα V^1

Codex *P*, de quo conferas supra pag. 160, continet Ioannis Botaniatae carmen inde a folio 15[r] inf. usque ad folium 17[r] hoc titulo (de quo parum accurate relatum est in Io. Alb. Fabricii Bibl. Graec. ed. Harles VI 370) insignitum: Ἰω(άνν)ου νομικ(οῦ) Κρήτ(ης) τοῦ Βοτανιάτου πρὸς Ἰσίδωρον διάκονον καὶ ταβουλάρ(ιον) τὸν Χιώτην στίχοι ἑκατὸν: — τὸ ἰαμβικὸν διασαφοῦντες μέτρον. Descripsit carmen ex *P* Guilelmus Hoerschelmann et mecum humanissime communicavit.

Codicem *L* chartaceum miscellaneum, de quo conferas Bandinii Catalogum codd. graec. bibl. Laurentianae tom. II pag. 438 sqq., a me rogatus cum meo apographo codicis Chisiani benignissime contulit Aeneas Comes Piccolomini amicus carissimus. Carmen Ioannis Botaniatae in *L* legitur inde a folio 3[r] hoc titulo insignitum: Ἰωάννου νομικ(οῦ) τοῦ Βοτανιάτου τοῦ ἀπὸ Κρήτης πρὸς Ἰσίδωρον διάκονον καὶ ταβουλάριον τὸν Χιώτην στίχοι ἑκατὸν τὸ ἰαμβικὸν διασαφοῦντες μέτρον.

Idem carmen integrum legitur in codicis Oxoniensis Canoniciani 14 chartacei formae quartae saeculo XV exeunte exarati (nobis *O*) folio 102 teste Henrico Coxe (in Catalogi codicum mss. bibliothecae Bodleianae parte tertia, Oxonii 1854, pag. 12), qui praeter carminis titulum solos versus 1. 2. 99. 100 transcripsit[1]). Hunc codicem ipse non vidi, apparet tamen contextum codicis *O* propius abesse a *PL* quam a codice *C*.

Praeterea praesto mihi fuerunt lectiones codicum duorum Parisinorum, in quibus particulae tantum carminis illius exstant, quas meum in usum diligentissime contulit Gottholdus Gundermann:

R = Codex Parisinus 2551 pessimae notae, de quo haec ad me scripsit Guilelmus Hoerschelmann: 'Codex miscellaneus est, saec. XV—'XVI a compluribus librariis in chartis formae oblongae exaratus. Fo-'liis constat 203, quorum in 37[r]—45[v] exstant scholia in Pindarum me-'trica; sequuntur fol. 46[r] de lyricis poetis ea, quae hoc ipso usus co-'dice publici iuris fecit Boissonade Anecd. vol. IV pag. 458 sq., iterum 'edidit Mauricius Schmidt in Didymi Chalcenteri fragmentis pag. 395 sq., 'tertium edidit Augustus Nauck in calce lexici Vindobonensis pag. 321 sqq.; 'fol. 156[r][2]) Ioannis Botaniatae versus 9 et 13—50 inscriptione carentes'[3]).

---

[1]) In codice *O* inde a folio 91[r] haec leguntur: περὶ ποδῶν μέτρου (inc.: τὸ τῶν ποδῶν ἐπώνυμον ἐπὶ πολλῶν τάττεται [id est tractatus ille, de quo dixi supra pag. 162 med.]; des.: καὶ ἡ ἑξῆς ἄρεται [pro ἄρχεται] ἀπὸ φωνήεντος).

[2]) Ante Botaniatae carmen in codicis *R* folio 156[r] haec scripta sunt teste Gundermanno: ταῦτα ἱστορεῖ ὁ καισαρίας εὐσέβειος ὁ παμφίλου ἐν τῷ λό|γῳ· ὃς ἐκλήθη βασιλικὸς: | περὶ μέτρων: | ἴαμβος ἀποβραχείας συλλαβῆς. καὶ ἑτέρας μακρὰς. ἤγουν κόρη. | σπονδεῖος ἐκ δύο συλλαβῶν μακρῶν. η καὶ ω μέγα. ἤγουν. ἥρως. | τροχαῖος ἐκ μιᾶς μακρᾶς. καὶ ἑτέρας βραχείας. ἤγουν θεῖος. αὐτὸς. | πυρίχιος ἐκ δύο συλλαβῶν βραχείων. λόγος. θεὸς. | τὸ ἰαμβικὸν (cum accentu acuto supra α deleto) μέτρον ἐπιδέχεται πόδας ἓξ. ἤτοι συλλαβὰς ιβ. | ὧν ὁ μὲν. πρῶτος τρίτος καὶ πέμπτος ἢ ἴαμβος, ἢ σπονδεῖος. |

[3]) Post carminis versum 50 in *R* sequitur γένος θεοκρίτου (inc.: Θεόκριτος ὁ τῶν βουκολικῶν ποιητὴς etc.).

Εἰ γοῦν θελήσεις τοὺς ἰάμβους εἰδέναι,
10 κλέος νομικῶν, μαρτυρώνυμος φίλος,
κῦδος Χιωτῶν, Λευϊτῶν ἡ φαιδρότης,
χώρας πόδιζε συντόμως ἐγνωσμένας·
ἓξ γὰρ πόδας ἴαμβος ἅπας σοι φέρει
(ταὐτὸν δὲ ποὺς πέφυκε καὶ χώρα πάλιν),
15 χώρα δ' ἑκάστη συλλαβὰς φέρει δύο.
πρῶτον τρίτον πέμπτον τε τῶν στίχων πόδα
ἴαμβον ἢ σπονδεῖον, ὡς θέλεις, γράφε.
τὸν δεύτερον δὲ καὶ τέταρτον, ὡς θέμις.
βράχυνε καὶ μάκρυνε καὶ μὴ διστάσῃς.
20 ἴαμβον οὖν τὸ μέτρον ἔστω σοι τόδε.
τὸν δ' ἕκτον ἴσθι πυρρίχιον τὸν πόδα,
καὶ δίχρονόν μοι τόνδε τὸν πόδα κάλει·
ὃν βραχέων ἐκ δύο, δέσποτα, γράφε.
οἷον πόθον, λόγον τε καὶ Κρόνον, χρόνον.
25 εἰ δ' αὖ τὸν αὐτὸν καὶ πάλιν ἰαμβίσεις,
ἥμαρτες οὐδέν, ἀλλ' ἔγραψας εὐστόχως·
παντὸς μέτρου γὰρ συλλαβὴν τὴν ὑστάτην
βράχυνον ἢ μήκυνον ἀδιαφόρως.
ἔστι δ' ἴαμβος ὡς ἔρως, Κόνων, Νέρων,
30 ὃς τρίχρονος πέφυκεν ἐν στιχοπλόκοις,
τετράχρονος σπονδεῖος ὡς κώνωψ πάλιν.
αὕτη δ' ἑκάστου τῶν ποδῶν διπλῆ βάσις
δηλοῖ καθ' αὑτήν, ἣν ἔχει συμμετρίαν.
Πλὴν ἀλλ' ἑκάστου τὸ σθένος τῶν γραμμάτων
35 λάμβανε καὶ μάνθανε τὴν συνεργίαν·
ἑπτὰ γάρ εἰσιν ἐξ ὅλων τούτων, ὅσα
φωνὴν μόνα φέρουσι συμφώνων δίχα.
μέριζε τοίνυν ταῦτα τρισὶ χωρίοις

9 γοῦν *codicis R rubricator*, γουν R^1 ‖ θελήσῃς *an* θελήσεις *incertum C*, θελήστς *R* ‖ ἴαμβους *S* ‖ ἰδέναι *LR* ‖ 10 νομικὸν *P*, νομικῶν *L* ‖ 11 λαιτῶν *P* ‖ 12 σὺν τομαῖς *S* ‖ 13 ἓξ γὰρ *CPL*, ἴσθι ἓξ *R* ‖ ἴαμβος ἅπασι φέρει *R* ‖ 14 ταυτὸν *CPL* ‖ ποὺς *L* ‖ 16 στίχων *CPR*, δίχων *L* ‖ πόδα *C*, πόδας *potius quam* πόδα *videtur in P esse*, πόδας *LR* ‖ 17 σπόνδιον *R* ‖ 18 τὸν *R*, τὸ *CL*, καὶ *P* ‖ 19 *ab hoc versu incipit fol.* 58r *C* ‖ δυστάσῃς *PLR* ‖ 20 ἰάμβον *C* ‖ 21 τὸν δὲ ἕκτον *R* ‖ 22 κάλλει *R* ‖ 23 βράχεων *P* ‖ γράφει *L* ‖ 24 λόγονται.καὶ *ex* λόϊται καὶ *aut ex* λόϋται καὶ *factum R* ‖ 25 ἰαμβήσεις *L*, ἰαμβήσῃς *R* ‖ 27 παντὸς γὰρ μέτρα γὰρ συλλαβὴν *R* ‖ τὸν *P* ‖ 28 ἢ μήκυνον *CL*, καὶ μήκυνον *P*, ἡμίκινον *R* ‖ ἀδιαφθόρως *R* ‖ 29 *ab hoc versu incipit fol.* 16r *P* ‖ *versus* 30. 31 *hoc ordine collocant PLR, inverso C* ‖ 30 τρίχηνος *L* ‖ 31 σπονδεῖον *C*, σπόνδιος *ex* σπόνδιοι *factum R* ‖ κόνωψ παλίν *R* ‖ 32 ἑκάστη τῶν πολλῶν *L*, ἑκάστη τῶν ποδῶν *R* ‖ βάσης *R* ‖ 33 δηλεῖ *R* ‖ αὐτὴν *CPR* ‖ συμμετρεῖαν *R* ‖ 34 πλὴν *CPL*, ἀλὴν *R* ‖ τοῦ σθένους *PLR* ‖ 35 συνεργείαν *LR* ‖ 36 ἑπτὰ γὰρ εἰσὶν *R* ‖ 37 συμφώνοις δίχως *R* ‖ 38 τοίνυν *om. R*

μακροῖς ὁμοῦ τε βραχέσι καὶ διχρόνοις.
τὸ μικρὸν οὖν ō καὶ τὸ ē ψιλόν, φίλε,
ὡς βραχέα γίνωσκε καὶ νόμιζέ μοι.
τῷ ῱ μεγάλῳ σύν γε τῷ ἦτα πάλιν
τὴν μακρὰν ἀπόνειμε χώραν ἐν στίχοις.
ἄλφα ἰῶτα καὶ τὸ ῡ δὲ τὰ τρία,
τούτων ἕκαστον ὡς χρόνους ἔχον δύο
δέχοιο μακρὸν ἢ βραχύ, καθὼς θέλεις,
ἔνθα προσήκει καὶ προσαρμόττει πλέον,
εἰ μή τι κωλύει σε τῶν ἀντιμάχων.
ὅθεν χρεών σοι προστεθῆναι καὶ τόδε·
τὴν ἀλφάβητον εἰς μέρη τεμὼν δύο
τριχῶς τὰ φωνήεντα διεῖλον μόνα.
νυνὶ δὲ τὰ σύμφωνα σαφηνιστέον
ἑπτὰ πέλοντα τῷ μέτρῳ πρὸς τοῖς δέκα·
ὧν εἰσὶ διπλᾶ ζῆτα καὶ ξῖ καὶ ψί τε,
ἄλλα τρία δὲ ψιλά· ταῦ κάππα πί τε·
καὶ δασέα γίνωσκε θῆτα φῖ χί τε·
λάμβδα μῦ νῦ ῥῶ δ' ἀμετάβολα δέχου.
τέσσαρα τυγχάνοντα τῷ μέτρῳ πάλιν
τὸ βῆτα γάμμα δέλτα σίγμ' ἄφωνά πως.
τούτων ὁποῖα δύο σύμφωνα λάχει,
τῶν βραχέων ἔμπροσθεν ἢ καὶ διχρόνων,
τὴν συλλαβὴν ταύτην γε πάντως μηκύνει,
καὶ μᾶλλον εἴπερ ἀμετάβολον τύχοι,
ὄπισθεν ἄλλου γράμματος τεθειμένου.
εἰ δ' αὖ πάλιν ἔμπροσθεν ἡγεῖται τόδε,
λάμβανε μακρὰν ἢ βραχεῖαν, ὡς θέλεις

39 βραχέοις *C*, βραχέσσι *R* ‖ 41 βράχεα *P* ‖ 42 μεγάλω *CR*, μέγα *PL* ‖ γε τῷ] τε τὸ *R* ‖ ἦτα] ῆ *CPLR* ‖ 43 ἀπώνειμε *R* ‖ ἐν στίχω *L*, εὐστόχως *R* ‖ 44 *ab hoc versu incipit fol.* 58ᵛ *C* ‖ ἰῶτα *R* ‖ τὰ] τα *R* ‖ 45 χρόνος *L* ‖ ἔχον *P*, ἔχων *CLR* ‖ 47 ἔνθα *C*, ἔθου *PL*, ἔθου *R* ‖ προσάρμόζει *R* ‖ πλέον *ex* πλὲον *radendo factum R* ‖ 48 *ab hoc versu incipit fol.* 3ᵛ *L* ‖ εἴ μη τὶ κωλύει σι *R* ‖ 49 χρέον *C*, χρεῶν *R* ‖ σε *L* ‖ προστεθῆναι *PR*, προστεθεῖναι *L*, προστιθέναι *C* ‖ 50 τὴν *L*, τὸν *CPR* ‖ μέρος *P* ‖ τεμὼν *CPR*, τὰ μὲν *L* ‖ 51 μόνον *L* ‖ 54 διπλὰ *P* ‖ ζῆτα καὶ ξῖ καὶ ψί τε *C et fere P*, ζ'. καὶ ξ. καὶ ψ τε *L* ‖ 55 δὲ] τὲ *C*, τε *PL* ‖ ταῦ κάππα πί *C*; τ̄ κ̄ πί *P*; τ̄, κ̄, π̄ *L* ‖ τε] δε *CPL* ‖ 56 *ab hoc versu incipit fol.* 16ᵛ *P* ‖ θῆτα φῖ χί τε *C et fere P*, θ̄. φ̄. χ̄. τέ *L* ‖ 57 λάμβα *C*, λάβδα *P*, λ. *L* ‖ μι νι ρω *C*, μι νῦ ῥῶ *P*, μ̄. ν̄. ρ̄ *L*; *an* μύ νῦ ῥῶ *voluit poetaster?* ‖ 59 τὸ β̄. γ̄. δ̄. σῖγμ' *L* ‖ 60 τούτων *C*, τούτων δ' *P*, τοῦτο δ' *L* ‖ λέχοι *P* ‖ 62 μὴ κίνει *L* ‖ 64 ὄπισθεν *C* ‖ τεθειμένον *CPL*. *Hunc nominatirum ita tantum servare possis, ut sumas* ὄπισθεν *in versu* 64 *significare* 'ante' *et in verbis* ὁποῖα τούτων δύο σύμφωνα λάχει ἔμπροσθεν τῶν βραχέων ἢ καὶ ἔμπροσθεν τῶν διχρόνων (*conf. vers.* 60 *sq.*) *ex contrario* ἔμπροσθεν *significare* 'post'; *contradicere tamen huic coniecturae videtur versus* 65 ‖ 65 *ab hoc versu incipit fol.* 59ʳ *C* ‖ *post versum* 65 *sequitur in CPL is versus, quem nos maluimus* 69ᵘᵐ *facere quam inserere post versum* 64ᵘᵐ ‖ 66 βραχείαν *P* ‖ θέλης *P*

(ὁ τεχνικός σοι χώραν ἐν τούτῳ νέμει),
εἰ μὴ πρόκειται σίγμα τούτου πολλάκις,
ἢ καὶ πέφυκεν ἀμετάβολα δύο.
70 μόνον δὲ διπλοῦν τῶν τριῶν ἓν εἰ τύχοι,
μακρὸν τὸ βραχὺ καὶ μόνον ποιεῖν σθένει.
τὰς ἐξ διφθόγγους ὡς μακρὰς λογιστέον,
ἃς δύο φωνήεντα μιγνύουσί πως
εἰς φθόγγον, εἰς ἕνωσιν, εἰς βοὴν μίαν.
75 τρόπον τὸν αὐτὸν ἃς περισπᾷς καὶ γράφων
μακρὰς λογίζου συλλαβὰς τὰς διχρόνους.
Οὕτω πλέκων μοι τοὺς ἰαμβείους στίχους
σὺν ἀκριβείᾳ νουνεχῶς εὐθυμέτρως,
ἕκαστον αὐτῶν παρατηρῶν ὡς δέον,
80 καλῶς φυλάξεις τοὺς ὅρους μοι τῆς τέχνης·
καὶ τὸν φυτουργὸν εὐφρανεῖς καρποῖς λόγων
φερωνύμως μοι δωρεὰς ἴσως νέμων,
καὶ μᾶλλον εἴης, Ἰσίδωρός, μοι τότε
βέλτιστος ἀχείρωτος ἐν μουσοπλόκοις
85 κάλλιστος εὐπόριμος ἐν στιχουργίαις.
Ἀλλ' ἐντολὴν φύλαξον εὐτελῆ μίαν·
μὴ λέξεσι χρῶ δυσλύτοις τὸ παράπαν
μηδὲ σκοτειναῖς ἢ στιβαραῖς ἢ γρίφοις
μηδ' αὖ θέειν ὕπερθεν αἰθέρος θέλε,
90 μηδὲ στιχίζων σῶν πτερῶν ἔξω πέτου,
μή πως Ἰκάρου χεῖρον εὑρήσῃς πάθος
καὶ κηρίναις πτέρυξιν ἐπτερωμένος
λυγρὸν πέσῃς πέσημα πρὸς χάος φέρον.
Ταβουλλάριος ταῦτα ταβουλλαρίῳ
95 Βοτανειάτης Ἰσιδώρῳ φιλτάτῳ
βλαστῷ Χίου Κρὴς εὐτελὴς Ἰωάννης.
σὺ γοῦν δίδου μοι μικρὰν ἀντιμισθίαν,
εὐχὰς ὁσίας καὶ θεῷ πεφιλμένας,
ἀντὶ δεκάδος τῆς δεκαπλῆς τῶν στίχων
100 τοῦ παντελείου τυγχάνων μύστης λόγου.

70 εἰ *CP, om. L* ‖ τύχῃ *P* ‖ 74 εἰς φθόγγον *C*, δίφθογγον *PL* ‖ βοὴν *C*, βουλὴν *P*, βολὴν *L* ‖ 75 περι πᾶς *L* ‖ 78 συνακριβεία *P* ‖ 81 καρποῖς *CP*, καρ π *cum incerto scripturae compendio L* ‖ 82 φερωνύμος *L* ‖ δωρεὰς ἴσους *C*, δωρεᾶς ἴσως *PL* ‖ 83 *ab hoc versu incipit fol.* 17r *P* ‖ 87 *ab hoc versu incipit fol.* 59v *C* ‖ τοπαράπαν *CL* ‖ 88 μὴ δὲ *CPL* ‖ 89 μηδ' *CPL* ‖ αὖ *C*, αὐ *P*, οὖν *L* ‖ αἰθέρα *L* ‖ 90 μὴ δὲ *CPL* ‖ στοιχίζων *L* ‖ 91 ἰκάρου *CL* ‖ εὑρέσεις *P* ‖ 92 κηρήναις *C* ‖ 93 φέρον *L*, φέρων *quam* φέρον *in P esse probabilius est*, φέρων *C* ‖ 94 ταβουλλάριος *C*; τὰ βουλεύματα *P*, τὰ βουλευματα *L* (*ortum ex scripturae compendio male intellecto*) ‖ ταβουλλαρίῳ *C*, ταβουλαρίῳ *P*, βουραρίῳ *L* ‖ 95 βοτανειάτης *C*; βοτανιάτης *PL*, *conf. quae supra pag.* 201 *ad carminis titulum adnotavi* ‖ 96 κρῆς *C* ‖ 97 ἀντιμυθίαν *L* ‖ 99 ἀντι *O*

ποδίαν[18] δὲ συντιθέμενος[19] τὰ καλούμενα πυρριχιακὰ[20] τετράμετρα ⟨ποιεῖ⟩, ὧν ὑποδείγματα[21]

ἴθι[22] μόλε ταχύποδος[23] ἐπὶ δέμας[24] ἐλάφου
πτεροφόρον[25] ⟨ἀνὰ⟩ χερὶ δόνακα τιθεμένη[26] (fr. lyr. adesp. 113 Bergk).

3. Ὁ δὲ τροχαῖος, ὅτι τροχαλὸν[27] ἔχει τὸν ῥυθμόν· καὶ γὰρ[28] Ἀρχίλοχος[29] ἐπὶ[30] τῶν θερμῶν[31] ὑποθέσεων αὐτῷ[32] κέχρηται[33], ὡς ἐν τῷ

Ἐρξίῃ[34], πῇ δηὐτ'[35] ἄνολβος ἀθροίζεται[36] στρατός[37] (fr. 60 Bergk);

καὶ Εὐριπίδης[38]

θᾶσσον[39] ἤ μ' ἐχρῆν προβαίνων ἱκόμην δι' ἄστεος[40] (Orest. 729).

4. Ὁ δὲ ἴαμβος[41] ἢ ἀπὸ Ἰάμβης τῆς[42] ὑπαντησάσης Ἱππώνακτι[43] γραός, ἧς[44] ἐφαψάμενος τῆς σκάφης, ἐφ' ἧς ἔπλυνε τὰ ἔρια, ἤκουσε λεγούσης

ἄνθρωπ', ἄπελθε· τὴν σκάφην ἀνατρέπεις.

ἢ παρὰ τὸ ἰὸν βάζειν[45]· καὶ γὰρ Καλλίμαχος περὶ[46] Ἀρχιλόχου λέγων ἐν τῷ Γραφείῳ[47] φησὶν

εἵλκυσε δὲ[48] δριμύν τε[49] χόλον[50] κυνὸς[51] ὀξύ τε κέντρον
σφηκός, ἀπ' ἀμφοτέρων ἰὸν ἔχει στομάτων[51] (fr. 37ᵃ Schneider)·

λοιδορικὸν[52] γὰρ τὸ μέτρον, καὶ ἰαμβίζειν τὸ λοιδορεῖν[53].

5. Σπονδεῖος[54] δὲ ἀπὸ τοῦ ἐπαυλουμένου[55] ταῖς[56] σπονδαῖς ῥυθμοῦ, οἷον

σπένδωμεν[57] ταῖς Μνάμας[58] παισὶν[59] Μούσαις[60] καὶ τῷ μουσάρχῳ[61]
Λατοῦς[62] υἱεῖ.

ἢ ὅτι μακρότατός[63] ἐστι[64] τῶν ὁμογενῶν· εἰς μακροὺς δὲ χρόνους[65] εὐχόμεθα σώζεσθαι θύοντες[66].

6. Δάκτυλος δὲ[67] ἀπὸ τῶν Δακτύλων, οὓς ἐπιλαβομένη τῆς γῆς ἀνῆκεν ἡ Ῥέα[68]· οὓς καὶ Κουρῆτάς[69] φασι[70] διὰ[71] τὸ περὶ τὸν Δία κοῦρον[72]

---

18) διποδίαν *C*, ποδίαν *U* ‖ 19) συντιθέμενα *C* ‖ 20) πυρριχαϊκὰ *U*, πυρρι χ' καὶ *C* ‖ 21) ὑποδειγμα τ *U* ‖ 22) ἴθι *U* ‖ 23) ταχύπο δ *C*, ταχύ ποδος *U* ‖ 24) ἐπίδεσ μ *C*, ἐπι δεσμ[illegible]α *U*, ἐπὶ δέσμα ? *S* ‖ 25) πτεροφόρα ? *S*, *om. CU* ‖ 26) χαιρηδόνα καθε μν' *C*, χαίρη δόναν[illegible]α θεμένη *U*, χερσόν α καθομένα *S* ‖ 27) τροχαϊκὸν ? *C*, χαλὸν ? *S* ‖ 28) καὶ γὰρ *C*, κ[illegible]αὶ γοῦν *U*, καί γε ? *S* ‖ 29) ἀντίλοχος ? *C* ‖ 30) ἐπι *U* ‖ 31) θεσμῶν ? *S* ‖ 32) αὐτῶν *C* ‖ 33) κέχρηται *S*, χρῆται *CU* ‖ 34) Ἐρξίη] ἰῇ *C*, ἴη *U*, ἔρξη *S* ‖ 35) πῇδ' ἤ τ' *C*, [illegible]πῇ δ' ἠύτ' *U*, πῇ δῆτ' *S* ‖ 36) ἀθροίζεται *CU* ‖ 37) στρατος *U* ‖ 38) εὐριπίδης *U* ‖ 39) θᾶ[illegible]ίσσον *U* ‖ 40) δ' ἰαστεος *U* ‖ 41) ἴαμβος *U* ‖ 42) ἰάμβης τῆς *C*, ἰαμβιστῆς *U* ‖ 43) ἱπ[illegible]πόνακτι *C* ‖ 44) ἧς *U* ‖ 45) βιάζειν ? *C* ‖ 46) περι *U* ‖ 47) γραφῖ ω *C* ‖ 48) εἵλκυσε δὲ *S*, εἵλκυσε *C*, εἵλκυσε *U* ‖ 49) δριμύν τε *C*, δριμ τε (*sic*) *U*, ἀρίμεντε *S* ‖ 50) χῦλον *S* ‖ 51) ὀξυ τε κέντρω σφοικὸς. ὃς ἀπ' ἀμφοτέρων ἰὸν στομάτων *U*, ὀξύ τε κέντ[αυ]ρον σφηκὸς ἀπ' ἀμφοτέρων ἰὸν ἔχει στομάτων *S*, ὃς ἀπ' ἀμφοτέρων ἰὸν ἐκχεῖ στομάτων. ὀξύτερον κέντρον σ[illegible]φηκός *C* ‖ 52) λοιδορικὸν *CU*, λοιδορητικὸν *S et Anonymus Ambrosianus* ‖ 53) λοιδωρεῖν [illegible] ‖ 54) σπονδεῖος *CU*, Ὁ σπονδεῖος *S* ‖ 55) ἐπαυ(*inc. fol.* 48ᵛ)λομένου *C*, ἐπαυλομένου [illegible] ‖ 56) ταῖς *om. S* ‖ 57) σπένδομεν *CUS* ‖ 58) μνάμαις (*sic*) *U*, μνήμαις *C*, μνάμαις *S et Anonymus Ambrosianus* ‖ 59) παισὶ *U*, πασὶ *C*, ποσὶ *S* ‖ 60) μοῦσαις *U* ‖ 61) μουσαρχω [illegible] ‖ 62) λητοῦς *C*, λητοῦς *S* ‖ 63) μακρο τρ' *C* ‖ 64) ἐστὶ *U* ‖ 65) μακροὺς δὲ χρόνους *US*, χρόνους δὲ μακροὺς *C* ‖ 66) θύοντες *S*, πάντες *CU*; *an* πάντες θύοντες *scribendum ?* ‖ 67) δὲ *U*, *om. C* ‖ 68) ρέα *U* ‖ 69) κουρῆτας *C*, κούρητας *U* ‖ 70) φασὶ *an* φασὶν *incertum U*, φασὶν *C* ‖ 71) διά *U* ‖ 72) περι τὸν δία κοῦρον *U*, περιττὸν διάκουρον *C*

[73]ὄντα εἰλεῖσθαι[74]· ἦσαν δὲ δέκα, καὶ τούτῳ τῷ μέλει ἐψεύδοντο τὸν[75] Κρόνον.

ἢ ὅτι οἱ μουσικοὶ τὸν μὲν ἐν διπλασίονι[76] λόγον ἴαμβον καλοῦσιν, ὅταν ἡ ἄρσις[77] τῆς θέσεως διπλασίων[78] ᾖ[79], δάκτυλον δὲ τὸν ἐν ἴσῳ λόγον[80]. διὸ καὶ οἱ μετρικοὶ τὸν πόδα τοῦτον οὕτως ἐκάλεσαν· ἡ γὰρ μακρὰ ταῖς δύο βραχείαις ἰσόρροπος, ὥστε καὶ τὸν ἀνάπαιστον[81] ὡς πρός γε τὸ[82] γένος καλῶν δάκτυλον οὐκ ἂν[83] ἁμάρτοις. τὸν δὲ ἀμφίβραχυν οὐδαμῶς[84]· οὐ γὰρ ἴση αὐτοῦ[85] ἡ ἄρσις τῇ θέσει καὶ οὐ δύναται αὐτοῦ[86] ἡ σύνθεσις εἰς ἴσα[87] μερισθῆναι· ἢ[88] γὰρ μονάς ἐστι[89] πρὸς τριάδα ἢ τοὐναντίον[90]· διὸ οὐδὲ μέτρον ποιεῖ καθ' ἑαυτόν[91]. παίωνα δὲ τὸν ἐν ἡμιολίῳ λόγον[92], ὅς ἐστιν[93] ἔχων αὐτὸν[94] καὶ αὐτοῦ τὸ[95] ἥμισυ, ὡς ἡ δυὰς[96] πρὸς τὴν[97] τριάδα· τοιοῦτοι δέ εἰσιν[98] οἱ πεντάσημοι. ἐπίτριτον δὲ τὸν ἐν ἐπιτρίτῳ[99] λόγον[100], ὅταν[101] μετὰ τὴν ἰσότητα τὸ[102] τρίτον καταλίπηται[103], οἷον ἔχει λόγον ἡ τριὰς πρὸς τὴν τετράδα· ἐπεὶ οὖν οἱ ἀπὸ τριῶν μακρῶν καὶ βραχείας[104] ἑπτάσημοί εἰσιν[105] ἔχοντες ἐν αὐτοῖς[106] τριάδα καὶ τετράδα, εἰκότως ἐπίτριτοι καλοῦνται.

Τὸν δὲ[107] δάκτυλον ἡρῶον καλοῦσι διὰ τὸ δι' αὐτοῦ[108] ἡρώων γενεὰς καὶ πράξεις καταλεχθῆναι.

§ 1[b].

Σχόλιον εἰς τὸ[109] περὶ ποδῶν σύνθεμα[110].

[111]Οἱ δισύλλαβοι τέσσαρες[112].

1. σπονδεῖος: ἥρως[113]· Διὰ[114] τοῦτο σπονδεῖος ἐκλήθη, ἐπειδὴ ἐν ταῖς σπονδαῖς τῶν θεῶν εἰώθασι μετὰ τούτου τοῦ μέτρου λέγειν τὰς ᾠδάς.

2. λόγος[115]. Πυρρίχιος ἐκλήθη ὁ καὶ[116] δίβραχυς, ἐπειδὴ καὶ[117] Πύρρος πρῶτος ἐκ τοῦ δουρείου[118] ἵππου ἐπήδησε[119] καὶ ἐπὶ[120] τῇ νίκῃ ὕμνος[121] αὐτῷ ἐπετέθη τοιούτῳ μέτρῳ. ἔστι δὲ καὶ πυρρίχη εἶδος ὀρχήσεως μμέτρου[122].

---

73) *incipit fol.* 150ᵛ *U* ‖ 74) εἰλεῖσθαι *U*, ἱλεῖς ? (*per compendium*) *C* ‖ 75) τὸν *CU*, *om. S* ‖ 76) ἐνδιπλασίονι *C*, ἐν διπλάσιον *U* ‖ 77) ἄρσις *U* ‖ 78) διπλάσιον *U* ‖ 79) ἦν *U* ‖ 80) λόγῳ *S et Anonymus Ambrosianus* ‖ 81) ἀνάπαιστον *U* ‖ 82) γε τὸ *CS*, ε *U* ‖ 83) οὐκὰν *U* ‖ 84) οὐδάμῶς *U* ‖ 85) αὐτῆ *C* ‖ 86) αὐτοῦ *S*, αὐτῆ *C*, αὖ *U* ‖ 87) ἴσα ? *S*, ἴσα *CU* ‖ 88) ἢ *CS*, ἡ *U* ‖ 89) μονὰς ἐστι *C*, μονὰς ἐστὶ *U* ‖ 90) τουναν *U* ‖ 91) ἑαυτ' *C* ‖ 92) λόγον *U*, λόγον *an* λόγω *incertum C*, λόγῳ *S* ‖ 93) ἐστὶν *U* ‖ 94) αὐτὸ *C* ‖ 95) τὸ *CS*, *om. U* ‖ 96) διὰς *U* ‖ 97) τὴν *CU*, *om. S* ‖ 98) εἰσι *U* ‖ 99) τὸν ἐν ἐπιτρίτ' *C*, τῷ ἐν ἐπιτρίτῳ *S* ‖ 100) λόγῳ *S* ‖ 101) ὅτὰν *ex* ὁς ἂν ? *factum U* ‖ 102) τὸ *CU*, τὸν *S* ‖ 103) καταλίπηται *C*, κατὰ λίπηται *U*, καταλείπηται *S* ‖ 104) βρα χ' *C* ‖ 105) ἑπτάσημοι εἰσὶν *CU* ‖ 106) ἑναυτοῖς *C* ‖ 107) δὲ *C*, *om. U* ‖ 108) διὰ τὸ δι' αὐτοῦ *U*, διὰ τὸ αὐτῶ *C* ‖ 109) εἰς τ' *C*, ει τὸ *U* ‖ 110) σύν θμ *C* ‖ 111) *incipit fol.* 49ʳ *C* ‖ 112) οἱ δισύλλαβοι ξξ *C*, *om. U* ‖ 113) ἥρως *in marg. habent U et* (*paulo inferius*) *C* ‖ 114) δια *C*, διὰ *U* ‖ 115) λόγος *in marg. habet C, ante* πυρρίχιος ἐκλήθη *habet U* ‖ 116) καὶ *C, om. U* ‖ 117) καὶ *C, om. U* ‖ 118) δουρίου *C* ‖ 119) ἐπήδησεν *U* ‖ 120) ἐπι *U* ‖ 121) ὕμνος+++ (*in rasura legitur* ὑμν) *U* ‖ 122) ἐκμέτρου *C*

3. τροχαῖος[123]: δῆμος[124]. Τροχαῖος[125] πάλιν εἴρηται παρὰ τὸ περιτρέχειν[126] τοὺς βωμοὺς[127] τοιούτῳ μέτρῳ ᾄδοντας.

4. ἴαμβος: λέων[128]. Ἴαμβος ἐκλήθη, ὅτι Δημήτηρ[129] περίλυπος οὖσα ἐπὶ τῇ ἁρπαγῇ[130] τῆς Κόρης παρεξενώθη τινὶ Κελεῷ[131], καὶ τούτου[132] ἡ θεράπαινα Ἰάμβη λεγομένη[133] παρεμυθεῖτο[134] αὐτὴν[135] ὀρχουμένη τοιούτῳ μέτρῳ[136]. [137]ἢ ἀπὸ Ἰάμβης τῆς ὑπαντησάσης, ὡς εἴρηται, Ἱππώνακτι[138] γραός[137].

Οἱ τρισύλλαβοι δὲ[139] ὀκτώ.

5. δάκτυλος: ἥλιος[140]. Δάκτυλος[141] ἐκλήθη[142] ἀπὸ μεταφορᾶς[143] τῶν ἁρμογῶν τῶν δακτύλων· ἀπὸ γὰρ τῆς μείζονος ἄνω ἐπὶ τὰς ἐλάττους ἁρμογὰς ὁ δάκτυλός ἐστι[144]. σημεῖον τοῦ δακτύλου[145] ἐκ μακρᾶς καὶ δύο βραχειῶν.

6. ἀνάπαιστος: Πολέμων[146]. Ἀνάπαιστός ἐστιν[147] ἀντὶ τοῦ ὁ πρὸς τὸ ἀνάπαλιν τοῦ δακτύλου[148] ἀντιστρέφων[149]. ([150]τινὲς δὲ καλοῦσιν αὐτὸν ἀντιδάκτυλον[150].) σημεῖον τοῦ ἀναπαίστου[151] ἐκ δύο βραχειῶν καὶ μακρᾶς[152].

7. ἡγεμών[153]. Ἀμφίμακρος, ὅτι ἑκατέρωθεν ἔχει μακρὰν καὶ τὴν μέσην βραχεῖαν. ([154]καλεῖται δὲ κρητικός, ὅτι ὑπὸ Κρητῶν[155] εὑρῆσθαι δοκεῖ· καὶ ἰωνικός[156], ἐπειδὴ πρὸς τὰ ἰωνικὰ[157] καλούμενα μέτρα ἥρμοσται[154].)

8. [158]Ὅμηρος[159]· Ἀμφίβραχυς ὁ ἔχων ἑκατέρωθεν τῆς μακρᾶς βραχεῖαν, ἤγουν τὰς δύο βραχείας[160] καὶ μέσην τὴν[161] μακράν.

9. νοήμων[162]. Βακχεῖος ἐκλήθη, ἐπειδὴ οἱ ὕμνοι τῶν διθυραμβοποιῶν[163] πρὸς τὸν Διόνυσον ἐπὶ τὸ πλεῖστον ἐκ τοῦ τοιούτου μέτρου[164] εἰσί.

---

123) τροχαῖος *U, om. C* ‖ 124) δῆμος *in marg. habet C, ante* ὁ τροχαῖος πάλιν *habet U* ‖ 125) τροχαῖος *C,* ὁ τροχαῖος *U* ‖ 126) παρατρέχειν *C* ‖ 127) βωβοὺς *U* ‖ 128) λέων *in marg. habent CU* ‖ 129) δὴ μήτηρ *U* ‖ 130) ἁρπαγῆ *U* ‖ 131) κλεῶνι ? *C* ‖ 132) τοῦ *C* ‖ 133) λεγομένη *U,* καλουμένη *C* ‖ 134) παρεμυθοῦτο ? *C* ‖ 135) αὐτὸν *C* ‖ 136) μέτρω *C,* τρόπω *U* ‖ 137) *de verbis, quae inde ab* ἢ ἀπὸ *sequuntur, conf. supra* § 1a, 4 *init.* ‖ 138) ἱππόνακτι *C* ‖ 139) δὲ *C, om. U* ‖ 140) ἥλιος *in marg. habet C, atque compendium huius vocabuli videtur fere etiam in codicis U margine exstitisse* ‖ 141) δάκτυλος *U, om. C* ‖ 142) ἐκλήθη *U,* ἐκλήθη δὲ *C* ‖ 143) μεταφορᾶς *U* ‖ 144) δάκτυλος ἐστὶ *C,* δακτυλος ἐστὶ *U* ‖ 145) τοῦ δακτύλου *U,* τῶν δακτύλων *C* ‖ 146) πολέμων *in marg. habet C,* πτολέμων *in marg. habet U* ‖ 147) Ἀνάπαιστος ἐστὶν *U, om. C* ‖ 148) τοῦ δακτύλου] τῶν δακτύλων *C,* τοῦ δακτυλικοῦ *U* ‖ 149) ἀντιστρέφων *U* ‖ 150) *verba* τινὲς — ἀντιδάκτυλον (*de quibus conf. Choerobosci Exegesin pag.* 59, 13 *sq. et 'scholia Hephaestionea B' pag.* 28, 27) *in marg. habet C, om. U* ‖ 151) τοῦ ἀναπαίστου] τῶν δακτύλων *C, om. U* ‖ 152) βραχ καὶ μακρᾶς *C,* ⏑⏑ καὶ ⏓ *U* ‖ 153) ἡγεμῶν *post* ἀμφίμακρος ὅτι *habet U, om. C* ‖ 154) *verba* καλεῖται — ἥρμοσται, *quae ex Choerobosci Exegesi pag.* 59, 19 *sqq. hausta esse videntur* (*conf. etiam 'scholia Hephaestionea B' pag.* 28, 31 *sq.*) *habet C, om. U* ‖ 155) κρητικῶν *C* ‖ 156) ἰωνικὸν *C; emendandum* παιωνικός ‖ 157) ἰωνικὰ *C; emendandum* παιωνικὰ; *conf. Choerobosci Exegesin pag.* 59, 17. 21 ‖ 158) *incipit fol.* 49v *C* ‖ 159) ὅμηρος *in marg. habet C,* ὅμῆρος *inter* ἀμφίβραχυς *et* ὁ ἔχων *habet U* ‖ 160) βραχείας *C,* ⏑⏑ *U* ‖ 161) μέσην τὴν] τὴν μέσην *C,* μέσον τὴν *U; conf. codicem Monacensem* 310 *in Vhligii proleg. ad Dionys. Thrac. pag.* XIV 4 ‖ 162) νοήμων *in marg. habet C, post* ἐκλήθη *habet U* ‖ 163) διθύραμβοῶν *U* ‖ 164) τοῦ τοιούτου μέτρου *C,* τοιούτου *U*

10. Ἥφαιστος[165]. Παλιμβάκχειος ὁ πρὸς τὸ[166] ἀνάπαλιν αὐτῷ[167] τρέχων.

11. δόλιος[168]. Χόρεῖος[169] (τοῦτο οἱ[170] μὲν προπαροξύνουσιν[171], οἱ δὲ περισπῶσιν· οὗτος δέ ἐστι καὶ[172] τρίβραχυς), ὅτι ἐν χορείαις[173] τοιοῦτον μέτρον ἐστίν[174].

12. Ἡρώδης[175]. Μολοττὸς δὲ ἀπὸ Μολοσσοῦ τοῦ[176] υἱοῦ Πύρρου καὶ Ἀνδρομάχης· τὰς ᾠδὰς γὰρ[177] λέγουσιν ἐν τοιούτῳ μέτρῳ ἐν τῷ ἱερῷ τῆς Δωδώνης[178] περὶ τὴν Ἤπειρον[179] πρὸς μνήμην Μολοττοῦ· ἐκλήθη γὰρ ὕστερον[180] Μολοσσία[181]. ([182]καλεῖται δὲ μολοσσὸς διὰ τὸ μέγιστος εἶναι πάντων τῶν ἁπλῶν ποδῶν καὶ μήκιστος[182].)

---

165) ἥφαιστος *in marg. habet C,* ἡφαῖστεῖ *ex* ἡφαῖστος *? factum habet U ante* ὁ πρὸς || 166) τὸ *C,* τὰ *U* || 167) αὐτῷ *an* αὐτοῦ *incertum C* || 168) δόλιος *in marg. habet C, in contextu ante* χόρειος *habet U* || 169) χόρεῖος (*sic*) *C,* χόρειος *U* || *verba* τοῦτο — περισπῶσιν *apud Dionysium qui fertur de pedibus non leguntur* || 170) οἱ *C, om. U* || 171) πρὸ παροξύνουσιν *U* || *de verbis* οὗτος — τρίβραχυς *conf. codicem Monacensem* 310 *in Vhligii proleg. ad Dionys. Thrac. pag.* XIV 6 || 172) δέ ἐστι καὶ *C,* δέ ἐστὶν ὃ μὲν (*litteris tribus ultimis incertissimis*) *U* || 173) χηρείαις *potius quam* χορείαις *videtur in U esse* || 174) ἐστὶ *U* || 175) ἡρώδης *in marg. habet C,* ἡρῶδης *in marg. habet U* || 176) τοῦ *C, om. U* || 177) γὰρ *C, om. U* || 178) δοδώνης *U* || 179) ὅπειρον *U* || 180) *incipit fol.* 151ʳ *U* || 181) μολοσσία *U,* μολοσσίας *C; corrigerem* Μολόσσεια, *nisi vario modo hanc memoriae de Molosso particulam a scriptoribus Byzantinis intellectam esse constaret* || 182) *verba* καλεῖται — μήκιστος, *quae ex Choerobosci Exegesi pag.* 60, 20 *sq. hausta sunt, omittit U*

ANONYMI AMBROSIANI

DE RE METRICA

EDIDIT

GVILELMVS STVDEMVND.

In codice celeberrimo Ambrosiano C 222 ord. inf. (qui olim 'fuit ex libris Georgii Merulae et collegii Chalcorum ⟨Mediolanensis⟩') fol. bombycino miscellaneo (nobis *A*), de quo conferas Henricum Keil in Mus. Rhen. vol. VI (a. 1847) pag. 108 sqq. (= Ritschelii opusc. I pag. 197 sqq.) et Christophorum Ziegler in Theocriti editione tertia (Tubingae 1879) pag. VI sq., inter Aristophanis fabulas scholiis [1]) Ioannis Tzetzae instructas (Plutum Nubes Ranas) inde a folio 78ᵛ extr. post Aristophanis Nubes eadem manu tachygrapha saeculi XIII, qua Aristophanis et textus et scholia, scripta exstat commentatiuncula περὶ σολοικισμοῦ, quam a me Mediolani descriptam edidit Georgius Schepss in libello 'de soloecismo' Argentorati anno 1875 pag. 60 sq. [2]). Hanc commentatiunculam ab eadem omnes manu exaratae excipiunt commentationes de re metrica, quas publici iuris faciam. Ex his commentationibus anonymorum ante me ex eodem codice Ambrosiano edidit Henricus Keil (Analecta Grammatica, Halis 1848, pag. 3 sqq.) eas, quae in mea editione leguntur inde a pag. 222, 1 usque ad pag. 232, 10. Ea quae Keilius ediderat passim emendata adiecit Lexico Vindobonensi (Petropoli 1867) pag. 253 sqq. Augustus Nauck; paginarum Nauckianarum numeros adscripsi in marginibus editionis meae. Codice Ambrosiano inspecto paucorum locorum lectionem emendavit E. Miller (Journal des Savants, 1870, pag. 173 adn. 5). Vbicumque meae codicis *A* lectiones aut a Keilio aut a Millero discrepant, scito me diligenter examinato codice ab illorum hominum doctissimorum memoria recessisse. Omnes scripturae discrepantias ex *A* adnotavi, nisi quod is iota mutum ubique omittit. Ex eis commentationibus, quas ego primum edidi, multo minoris pretii est ea quam 'de metro heroico' inscripsi, maioris ea, quam 'de pedibus pentasyllabis et hexasyllabis' inscripsi. Liberalissime permisit, ut hos libellos ex codice Ambrosiano describerem et publici iuris facerem, Antonius Ceriani, clarissimus bibliothecae Ambrosianae praefectus.

---

[1]) *Conf. de his scholiis codicis Ambrosiani etiam Henricum van Herwerden in Anecdotis editioni Sophoclis Oedip. R.* (1866) *adiectis.*

[2]) *Haec pauca corrigenda sunt in Schepssii editione: A habet pag.* 60 *vers.* 21 ιᾱ· ‖ 26 ὅτάν τις εἴποι ‖ 32 λέγει *an* λέγοι *incertum* ‖ οὗτος εἴρηκε (*non* εἴρηκεν) ‖ *pag.* 61, 1 ἀγαμέμνονος ‖ 4 *in* τις ἐπὶ *litterae* ς ἐπὶ *ab altera manu correctione effectae sunt* ‖ λέγει *an* λέγοι *incertum* ‖ 5 ὑπὸ σοῦ

Δολιχόουροι δὲ εἰσὶν οἱ κατὰ τὸ τέλος πλεονάζουσαν ἔχοντες συλλαβήν, οἱονεὶ μακροτέραν ἔχοντες τὴν οὐράν. εἰσὶ δὲ οἵδε·

λαῶν ἱζόντων, ὅμαδος ⟨δ'⟩ ἦν, ἐννέα δέ σφεας (B 96)

καὶ πάλιν

Κύκλωψ τῇ πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα (ι 347).

Ἀκέφαλοι δὲ εἰσὶν οἱ κατὰ τὴν ἀρχὴν ἐνδεεῖς· ὅθεν δὲ εἴρηνται, δῆλον. εἰσὶ δὲ οἵδε·

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο (Ψ 2)

καὶ πάλιν

ἐπίτονος βέβλητο βοὸς ⟨ῥινοῖο τετευχώς⟩ (μ 423)

καὶ πάλιν

τὰ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο πεφύκει (Φ 352).

Σφηκώδεις δὲ οἱ τὴν μέσην χώραν ἐνδεεστέραν λαχόντες· εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν σφηκῶν, οἵτινες τὸ μέσον ἀσθενέστερον ἔχουσιν. εἰσὶ δὲ οἵδε·

τοὔνεκ' ἄρ' ἀλλοϊδέα φαινέσκετο πάντα ἄνακτι (ν 194)

καὶ πάλιν

ἀμφοτέρω πατέρι δὲ γόον καὶ κήδεα λυγρά (E 156)

καὶ πάλιν

τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο (Λ 36).

Μείουροι δὲ εἰσὶν οἱ κατὰ τὸ τέλος τυγχάνοντες ἐνδεεῖς, οἱονεὶ περὶ τὴν οὐρὰν ὑπομείναντες μείωσιν. εἰσὶ δὲ οἵδε·

Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν (M 208).

§ 2. Τῶν δὲ μέτρων κακίαι εἰσὶ πέντε· χασμῳδία, ἐπισυνέμπτωσις, ὀλιγομερία, ⟨πολυμερία⟩, σπονδειακὴ διάθεσις.

Χασμῳδία μὲν οὖν ἐστιν, οἷον

Πηληϊάδεω (A 1 = A 322. I 166. Π 269. 653. Ω 406. 431. 448. λ 467. ω 15)

καὶ πάλιν

ἐκ μέν μ' ἀλλάων ⟨ἁλιάων⟩ ἀνδρὶ δάμασσεν (Σ 432).

εἴρηται δὲ χασμῳδία ἀπὸ τοῦ συμβαίνοντος ἐκ τῶν πολλῶν φωνηέντων ἐν τῷ στόματι χάσματος.

Ἐπισυνέμπτωσις δέ ἐστιν, οἷον

πολλὰ δ' ἄνατα κάτατα πάρατά τε δόχμι' ἐπῆλθον (Ψ 116).

εἴρηται δὲ ἐπισυνέμπτωσις ἀπὸ τοῦ συνεμπεσεῖν ἐν τῷ στίχῳ τὴν τῶν λέξεων ὁμοιότητα.

---

5 πῖε (*sic*) *A* ‖ 8—10 *hoc duos versus* (Ψ 2 *et* μ 423) *notavit iam Dionysius* (*apud Aristonicum*) *teste scholio codicis Veneti A ad Homer.* X 379, *ubi Aristonicus eos* κακομέτρους *appellat* ‖ 8 νῆας *A* ‖ ἑλήσποντον *ex* ἑλλήσποντον *correxit in A manus* 2 ‖ 12 ἅλις *A* ‖ 15 ἅλω ἰδέα φαίνεσκε τῶ *A* ‖ 17 δ' ἐγόων (*an* δ' ἐγόον *voluit scriba?*) *A* ‖ λυγρά *A ita ut accentus acutus supra* υ *deletus sit* ‖ 19 βλοσύρωπι *A* ‖ 21 εἰσί δε *A* ‖ 22 ἐπεὶ *A*, ὅπως *Homerus, conf. supra ad pag.* 189 *adnot.* 17 ‖ 23 *sqq. Ad* § 2 *conf. e. g. Eustathium ad Homer. pag.* 11 *sq.* 178. *etc.*; 1291. 353 ‖ 29 δάμασεν *A* ‖ 33 πολλά *A* ‖ δόχμιά τ' ἦλθον *Homerus*

Ὀλιγομερία δέ ἐστιν, οἷον

αὐτοκασίγνητος μεγαθύμου Πρωτεσιλάου (B 706).

εἴρηται δὲ ὀλιγομερία ἀπὸ τοῦ τὸν πάντα στίχον εἰς δύο μόνα διαιρεῖσθαι μέρη τοῦ λόγου.

Πολυμερία δέ ἐστιν, ⟨οἷον⟩

ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν (Z 253 = Z 406. Ξ 232. Σ 384. 423. T 7. β 302. ϑ 291. λ 247. ο 530).

εἴρηται δὲ πολυμερία ἀπὸ τοῦ πολλοῖς τοῦ λόγου συνέχεσθαι μέρεσιν· εἰς δέκα γὰρ μέρη τοῦ λόγου διῃρῆται.

Σπονδειακὴ δὲ διάθεσις ἐστίν, οἷον

Ἀτρείδης, τὼ δ' αὖτ' ἐκ δίφρου γουναζέσθην (Λ 130)

καὶ πάλιν

ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο (Ψ 221).

εἴρηται δὲ σπονδειακὴ διάθεσις ἀπὸ τοῦ τὸν πάντα στίχον ἐκ σπονδείων συγκεῖσθαι. —

Βοηθοῦνται δὲ αἱ κακίαι τῶν στίχων ἢ τῇ κοινῇ συλλαβῇ ἢ τῇ συνιζήσει, ὅτε δύο συλλαβαὶ εἰς μίαν ἐκφωνοῦνται, οἷον

τιμήσῃ, ὀλέσῃ δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν (B 4).

Βοηθοῦνται δὲ καὶ τῇ ἄρσει καὶ τῇ θέσει, ἐπειδὴ κοιναὶ καὶ αὗται εἰσὶ τῶν μέτρων καὶ πρῶται καὶ ὕσταται συλλαβαί, ἅστινας καὶ ἀδιαφόρους καλοῦσιν· ἄρσις μὲν γὰρ καλεῖται ἡ ἀρχὴ τοῦ στίχου, θέσις δὲ τὸ τέλος.

§ 3. Περὶ τῶν ἐν τοῖς στίχοις εὑρισκομένων τομῶν.

Χρὴ δὲ ἡμᾶς μὴ μόνον τῆς ἀκριβείας τῶν μέτρων ἀντέχεσθαι, ἀλλὰ καὶ τῆς καλουμένης ἀντιποιεῖσθαι τομῆς. τομὴ δὲ τῶν στίχων ἐστὶν ὁ τόπος ὁ δεικνὺς ἐν μέσῳ τοῦ ἔπους διάνοιαν, στιγμὴν ἐπιτηδείως λαμβάνουσαν. διάφορὰς δὲ ἔχει τέσσαρας ἡ τομή· ἑφθημιμερῆ τε καὶ πενθημιμερῆ καὶ τρίτον τροχαῖον καὶ τετάρτην βουκολικήν.

Ἑφθημιμερὴς μὲν καλεῖται τομή, ἥτις μετὰ τρεῖς πόδας καὶ συλλαβὴν τέλειον ἔχει τὸ νόημα, οἷον

ὣς ἔφατ', ἔδδεισε δ' ὁ γέρων· καὶ ἐπείθετο μύθῳ (A 33 = Ω 571),

ὅ ἐστι τῶν ἑπτὰ τὸ ἥμισυ.

Πενθημιμερὴς δέ ἐστιν, ἥτις μετὰ δύο πόδας καὶ συλλαβὴν τέλειον ἔχει τὸ νόημα, οἷον

ὣς ἔφατ' εὐχόμενος (A 43 = A 457. E 106. 121. Θ 198. O 377. Π 249. 527. Υ 393. Ψ 771. Ω 314. β 267. γ 385. ζ 328. ι 536. υ 102),

ὅ ἐστι τῶν πέντε τὸ ἥμισυ.

Τρίτος δὲ τροχαῖος ἐστὶν ἡ ἔχουσα τὸν πόδα τὸν τρίτον εἰς τροχαῖον συναπολήγοντα, οἷον

---

6 ἄρά *A* ‖ 11 τῶ *A* ‖ 20 ἀδιαφόρους] διαφόρους *A* ‖ 22 *sqq. Ad* § 3 *praeter ceteros de caesuris tractatus conferas propter nomen* τρίτος τροχαῖος *inprimis tractatum anonymum in Keilii Gramm. Lat.* VI *pag.* 645, 25 *sqq.*; *Marium Victorinum pag.* 65 ‖ 26 ἑφθημιμερῆ *A* ‖ 28 ἑφθημιμερὴς *A*

ὣς ἔφατ' οὐδ' ἀπίθησε (B 166 = Δ 68. E 719. 767. H 43. Θ 112. 381. Λ 195. 516. M 364. Ξ 277. O 78. 168. Π 458. P 246. 656. Ω 120. 339. ε 43. χ 492).

Τετάρτη δὲ ὑπάρχει βουκολικὴ ἡ ἔχουσα τὸ νόημα εἰς τέταρτον πόδα πάντως ἀπαρτιζόμενον, οἷον

οὐρῆας μὲν πρῶτον ἐπῴχετο· (A 50)

καὶ πάλιν

βῇ δὲ κατ' Οὐλύμποιο καρήνων· (A 44 = B 167. Δ 74. X 187. Ω 121. α 102. ω 488).

ταύτῃ δὲ τῇ τομῇ πάντες οἱ τὰ βουκολικὰ ποιήματα γράψαντες ὡς ἐπὶ τὸ πλεῖστον χρησάμενοι φαίνονται· ὅθεν καὶ τὴν κλῆσιν ἡ τομὴ ταύτην ἐδέξατο, ἀπὸ τῶν χρησαμένων τὴν προσηγορίαν λαβοῦσα.

§ 4. Περὶ τῶν ἐν τοῖς στίχοις γινομένων σχημάτων.

Καλὸν δὲ ἡγοῦμαι καὶ τοῦτο τῇ τῶν ἐπῶν ἀκριβείᾳ προσθεῖναι. τῶν γὰρ στίχων οἱ μὲν εἰσὶ μονόσχημοι, οἱ δὲ πεντάσχημοι, οἱ δὲ δεκάσχημοι.

Μονόσχημα μὲν οὖν ἐκεῖνα καλεῖται τὰ ἔπη, ὅσα ἐξ ὁλοκλήρου, ἢ ἐκ πέντε δακτύλων ἢ ἐκ πέντε σπονδείων, εὑρίσκεται συντεθειμένα. οἷον ἐπὶ μὲν τῶν πέντε δακτύλων, ὡς τὸ

τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς (A 84 = I 307. 606. 643. Λ 607. T 145. 198. Φ 222. Ψ 93).

ἐπὶ δὲ τῶν ε' σπονδείων, ὡς τὸ

Ἀτρείδης· τὼ δ' αὖτ' ἐκ δίφρου γουναζέσθην (Λ 130).

Πεντάσχημα δέ ἐστι τὰ ἔχοντα τέσσαρας σπονδείους καὶ ἕνα δάκτυλον ἢ τὸ ἀνάπαλιν· οἷον ἐπὶ μὲν τῶν δ' σπονδείων, ὡς τὸ

Ἕκτωρ δ' ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα (O 484).

ἐπὶ δὲ τῶν ⟨δ'⟩ δακτύλων·

Νέστωρ αὖτε μάλιστα Γερήνιος οὖρος Ἀχαιῶν (O 370 = O 659).

Δεκάσχημα δέ ἐστι τὰ ἐκ τριῶν δακτύλων καὶ δύο σπονδείων συγκείμενα ἢ τὸ ἀνάπαλιν. τοῦ μὲν οὖν προτέρου παράδειγμα οἷον

ὦ φίλοι, ἤτοι κλῆρος ἐμὸς χαίρω δὲ καὶ αὐτός (H 191).

τοῦ δὲ δευτέρου

ἦ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεύς (A 145).

Ἧρκει μὲν οὖν μέχρι τούτων καταπαῦσαι τὸν λόγον· ἡ γὰρ τῶν σχημάτων ἀκρίβεια πολλῆς δεῖται λεπτότητος τεχνικῆς ὑπερβαινούσης τὴν τῶν νέων

---

1 ἀπίθησε *A ita ut* ι *ex* ἡ *aut* ει *factum sit* ‖ 8 βῇ *A* ‖ 13 *sqq. Ad* § 4 *conf. Marium Plotium Sacerdotem pag.* 499, 25 *sq. et* 502, 23 *sqq.*; *Diomedem pag.* 496, 11 *sqq.*; *Victorinum pag.* 211, 18 *sqq.*; *Audacem pag.* 338, 25 *sqq.*; *Anonymum in Keilii Gramm. Lat.* VI 634, 10 *sqq.*; *Marium Victorinum pag.* 72, 12 *sqq.*; *Priscianum vol.* III *pag.* 460, 23 *sqq.*; *Pseudo-Plutarchi de metris cap.* II, *cuius verba redeunt apud Pseudo-Hephaest.* § 16 (*unde sua deprompsit Pseudo-Draco pag.* 136 *sq.*), *et 'scholia Hephaestionea B' pag.* 8, 16—23 (*ed. Hoerschelmann*) *nec non tabulam continentem* 'σχήματα τοῦ ἔπους λβ', *quam supra pag.* 108 *edidi* ‖ 19 τόν *A* ‖ 22 τῶ *A* ‖ 24 ἀνάπαλιν *A* ‖ δ'] δ *ex* δύο *an hoc ex illo correctum A* ‖ 25 ἶδεν *A* ‖ 30 ἤτοι *A*

διάνοιαν. ἐπειδὴ δὲ συνεχεῖς μοι προσήγαγες ἐρωτήσεις φάσκων, τίνος ἕνεκα τοὺς μὲν ἐκ τεσσάρων δακτύλων καὶ ἑνὸς σπονδείου συγκειμένους στίχους ἢ τὸ ἀνάπαλιν πεντασχήμους καλοῦμεν, τοὺς δὲ ἐκ τριῶν τε καὶ δύο δεκασχήμους καὶ οὐ πεντασχήμους εἶναι φαμέν, καίτοι τοῦ πέμπτου ἀριθμοῦ ἐκ τριῶν συνι-
5 σταμένου καὶ δύο, ἐγώ σοι τὸν περὶ τούτου λόγον σύντομον ὡς οἷόν τε ποιήσομαι καὶ σαφέστατον. τέως δὲ πρὸ πάντων ὁρισώμεθα, τί ἐστι σχῆμα. καὶ γὰρ εὔλογον οἶμαι τὸν μέλλοντα περί τινος διαλέγεσθαι πράγματος εἰδέναι, τί ἐστὶν ἐκεῖνο τὸ πρᾶγμα, εἶθ' οὕτως τὸν περὶ αὐτοῦ ποιεῖσθαι λόγον.

Σχῆμά τοίνυν ἐστὶ ποιὰ ποδῶν παράλληλος κίνησις. εἴρηται δὲ οὕτως
10 ἀπὸ τῆς τῶν ποδῶν ἄρσεώς τε καὶ θέσεως, αἷς οἱ χορεύοντες ἐπιδείκνυνται, ἐμμελεῖς τινας καὶ ἐναρμονίους ῥυθμοὺς διὰ τῆς τῶν ποδῶν ἀποτελοῦντες κινήσεως. καὶ τέως φαμὲν κεκλῆσθαι τοὺς πόδας ἀπὸ τῆς τῶν χορευόντων μεταφορᾶς καταχρωμένων ἡμῶν τῷ ὀνόματι. εἰσὶ δὲ αὐτῶν οἱ μὲν δισύλλαβοι, οἱ δὲ τρισύλλαβοι, οἱ δὲ τετρασύλλαβοι, οἱ δὲ πεντασύλλαβοι, οἱ δὲ ἑξασύλλαβοι.
15 οἱ μὲν οὖν δισύλλαβοι τέσσαρες εἰσίν, ὡς ἤδη μεμάθηκας. καλῶς δὲ εἶπον 'δισύλλαβοι'. ἀπὸ γὰρ μιᾶς συλλαβῆς οὐδέποτε συνίσταται μέτρον μονόπουν. διὰ τί δὲ εἶπον καὶ 'τέσσαρες'; ἐπειδὴ ἀνάγκη ἐστὶ πᾶσαν συλλαβὴν ἢ μακρὰν ἢ βραχεῖαν ὑπάρχειν ἢ βραχεῖάν τε καὶ μακράν, ἢ τὰς δύο μακρὰς ἢ τὰς δύο βραχείας· (ἡ γὰρ κοινὴ οὐκ ἔστιν εἶδος συλλαβῆς, ἐπειδὴ τόπῳ γνωρίζεται).
20 ἐκ δὲ τούτων τέσσαρα σχήματα ἀποτελεῖται. διὰ τοῦτο γὰρ καὶ ὀκτὼ εἰσὶν οἱ τρισύλλαβοι, ἐπειδήπερ ἑκάστῳ τῶν δισυλλάβων προστιθεμένης ἢ μακρᾶς ἢ βραχείας συλλαβῆς ποτὲ μὲν ἐν τῇ ἀρχῇ ποτὲ δὲ ἐν τῷ τέλει ὀκτὼ σχήματα καὶ ὀκτὼ πόδες ἀποτελοῦνται. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τῶν τετρασυλλάβων ἁρμόσει· τῇ γὰρ προσθήκῃ τῆς συλλαβῆς ἑκκαίδεκα γίνονται πόδες καὶ ἑκκαίδεκα σχήματα. τῷ αὐτῷ δὲ τρόπῳ καὶ ἐπὶ τῶν πεντασυλλάβων ποιήσαντες εὑρήσομεν τριάκοντα καὶ δύο γινόμενα σχήματα, τῆς μὲν μακρᾶς συλλαβῆς ἀποτελούσης ἑκκαίδεκα, τῆς δὲ βραχείας τὰ ἴσα. ἐπειδὴ οὖν ταῦτα προτεθεώρηται, ἔλθωμεν ἐπὶ τὸ προκείμενον.

[ἀρχή.]

Ἐν τῷ ἡρωϊκῷ μέτρῳ πέντε πόδες εἰσὶν ἐκ δακτύλων τε καὶ σπονδείων μετρούμενοι· ὁ γὰρ ἕκτος ποὺς ἀδιάφορός ἐστιν, ἢ τροχαῖον ἢ σπονδεῖον λαμβάνων. ἐξ ἀνάγκης οὖν ἐπὶ τῶν πέντε ποδῶν θέλομεν δεῖξαι τὰ δύο καὶ τριάκοντα σχήματα κατὰ τὴν διδασκαλίαν τῶν παλαιῶν. ὅταν οὖν εὕρωμεν στίχον ἐκ πέντε δακτύλων συγκείμενον, λέγομεν αὐτὸν εἶναι μονόσχημον. καὶ πάλιν ὅταν ἐκ πέντε σπονδείων, ὁμοίως μονόσχημον λέγομεν. πάλιν οὖν ὅταν εὑρεθῇ στίχος ἔχων τέσσαρας δακτύλους καὶ ἕνα σπονδεῖον, καλεῖται πεντάσχη-

---

1 προσήγαγες *A ita ut ultimum* ς *sit in antiqua rasura* ‖ 3 τὲ *A* ‖ 10 αἷς *an* οἷς *incertum A* ‖ 11 τινὰς *A* ‖ 12 φαμὲν κεκλῆσθαι] μὲν, κεκλῆσθαι (*sic cum lacuna, quae tamen casui adscribi videtur posse*) *A* ‖ 17 διατί *A* ‖ τέσσαρας *A* ‖ 18 βραχεῖάν τε] βραχεῖαν τὲ *A* ‖ *in hoc versu nonnulla intercidisse apparet, veluti:* ἢ βραχεῖαν, (πᾶσαν δὲ δύο συλλαβῶν σύστασιν ἢ μακράν τε καὶ βραχεῖαν) ὑπάρχειν ἢ βραχεῖάν τε καὶ μακράν, *etc.* ‖ 20 δια *A* ‖ 21 δισυλλάβων] τρισυλλάβων *A* ‖ 24 *bis* ἑκκαίδεκα *A* ‖ 29 αρ *A* ‖ 30 τὲ *A* ‖ 31 ποὺς *ex* ποῦς *correctum A*

μος. οὕτω δὲ λέγεται καὶ ὁ ἐκ τοῦ ἐναντίου ἔχων τέσσαρας σπονδείους καὶ ἕνα δάκτυλον. ὡς εἶναι τέως δώδεκα σχήματα· δύο μονόσχημα καὶ δύο πεντάσχημα. ὑπόλοιπον οὖν ἐστι τοὺς ἐκ δύο καὶ τριῶν συγκειμένους δεκασχήμους εἰπεῖν, ὁμοίως δὲ καὶ τοὺς ἐκ τριῶν τε καὶ δύο, ἵνα καὶ ἐν τούτοις φανῶσι τὰ εἴκοσι σχήματα, καὶ σωθῇ ὁ ἀριθμὸς τῶν τριάκοντα καὶ δύο σχημάτων. 5

Μετὰ ταῦτα τοίνυν δεῖ σε μαθεῖν, ποίῳ τρόπῳ τὰ σχήματα γίνεται.

⟨περὶ τῶν μονοσχήμων.⟩

Οἱ μὲν οὖν ἐξ ὁμοίων ποδῶν συνιστάμενοι στίχοι εἰκότως καλοῦνται μονόσχημοι διὰ τὸ μηδεμίαν ἔχειν ἐναλλαγήν· αἱ γὰρ μεταβάσεις τῶν τόπων ποιοῦσι τὰ σχήματα. 10

⟨περὶ τῶν πεντασχήμων.⟩

Οἱ δὲ ἐκ τεσσάρων δακτύλων καὶ ἑνὸς σπονδείου συγκείμενοι ἢ τὸ ἀνάπαλιν διὰ τί πεντάσχημοι λέγονται; δίσχημοι γὰρ ὤφειλον καλεῖσθαι, ἐπειδήπερ οἱ τέσσαρες δάκτυλοι ἑνὸς ὑπάρχουσι σχήματος καὶ ὁ εἷς σπονδεῖος ἑνός. ἀλλὰ καλῶς τοῦτο ἐλέγετο, εἴπερ ἦν διὰ παντὸς ἐν μιᾷ χώρᾳ τοῦ στίχου τὸν ἕνα σπονδεῖον εὑρίσκεσθαι καὶ τοὺς τέσσαρας δακτύλους ἢ τοὐναντίον τὸν ἕνα δάκτυλον καὶ τοὺς τέσσαρας σπονδείους. ἐπειδὴ δὲ ποτὲ μὲν ἐν τῇ πρώτῃ, ποτὲ δὲ ἐν τῇ δευτέρᾳ, ποτὲ δὲ ἐν τῇ τρίτῃ καὶ ἐν τῇ τετάρτῃ δὲ καὶ ἐν τῇ πέμπτῃ εὑρίσκεται, ἀναγκαίως διὰ τὴν τῶν τόπων μετάβασιν καλεῖται πεντάσχημος. γενήσεται δὲ καὶ ἐκ τῶν ἐφεξῆς τὸ εἰρημένον σαφέστερον· ὡς ἐὰν ζωγράφῳ ἐπιτάξῃ τις γράψαι πέντε στίχους προσώπων ἢ βοτρύων τυχὸν ἢ ἑτέρων τινῶν, οἷον ποιήσει τὸν στίχον ἔχοντα τὸ μὲν πρῶτον πρόσωπον ἐρυθρόν, λευκὰ δὲ τὰ τέσσαρα· καὶ πάλιν ἐν τῷ δευτέρῳ στίχῳ ποιήσει τὸ μὲν πρῶτον λευκόν, τὸ δὲ δεύτερον ἐρυθρόν, τὰ δὲ ὑπόλοιπα τρία λευκά· καὶ πάλιν ἐν τῷ τρίτῳ στίχῳ ποιήσει τὰ μὲν πρῶτα δύο λευκά, τρίτον δὲ τάξει τὸ ἐρυθρόν, τὰ δὲ ὑπόλοιπα δύο λευκά· καὶ πάλιν ἐν τῷ τετάρτῳ στίχῳ ποιήσει τὰ μὲν πρῶτα τρία λευκά, τέταρτον δὲ ἐρυθρὸν καὶ λευκὸν τὸ ὑπόλοιπον· καὶ πάλιν ἐν τῷ πέμπτῳ στίχῳ ποιήσει τὰ μὲν τέσσαρα τὰ πρῶτα λευκά, τὸ δὲ ὑπόλοιπον ἐρυθρόν. οὕτως καὶ ὁ εἷς ποὺς τοὺς πέντε διερχόμενος τόπους. εἰ δὲ βούλει, διὰ τῶν συμφώνων δείξωμεν τὸ παράδειγμα· ἔστω δὲ τὸ ε̄ στοιχεῖον σημαντικὸν τοῦ ἐρυθροῦ χρώματος ἀντὶ τοῦ προσώπου τοῦ ἐρυθροῦ, τὸ λαμβδα δὲ τοῦ λευκοῦ, καὶ γίνεται οὕτως·

---

13 διατί *A* ‖ δίσχημοι] διοχήματα *A* ‖ 15 διαπαντὸς *A* ‖ 21 τίς *A* ‖ 22 *ab* οἷον *incipit folium* 79ᵛ *A* ‖ τὸ] τὸν *A* ‖ 28 τεσσαρα *A*

ε	λ	λ	λ	λ
λ	ε	λ	λ	λ
λ	λ	ε	λ	λ
λ	λ	λ	ε	λ
λ	λ	λ	λ	ε

Οὕτω μὲν οὖν τὰ πεντάσχημα γίνεται. παραθήσομαι δέ σοι καὶ στίχους Ὁμηρικοὺς σημαίνοντας, ὡς οὐδὲν ἀλόγως εἴρηται παρ' ἡμῶν, ἀλλὰ πάντα κατὰ τὴν διδασκαλίαν τῶν παλαιῶν. εὑρήσεις γὰρ ἐν αὐτοῖς κατὰ μίμησιν τοῦ γεγραμμένου κανόνος τὸν ἕνα πόδα τὰς πέντε διερχόμενον χώρας καὶ ὑποχωροῦν-
5 τας αὐτῷ κατὰ μέρος τοὺς τέσσαρας.

Ἀρκτέον δὲ ἀπὸ τοῦ παραδείγματος τοῦ ἐξ ἑνὸς σπονδείου καὶ τεσσάρων συγκειμένου δακτύλων. σημαίνει δὲ τὸ μὲν π στοιχεῖον τὸν σπονδεῖον, τὸ δὲ δ̄ τὸν δάκτυλον.

ᾱ Πηλεί. δης δ' ἐπό. ρουσεν ὅ. σον τ' ἐπὶ. δουρὸς ἐ. ρωή (Φ 251).
10 β̄ Ἀξίου. ὅς κά. λλιστον ὅ. δωρ ἐπὶ. γαῖαν ἵ. ησι (Φ 158).
γ̄ υἱέϊ. Πηλεγό. νος τὸν. δ' Ἄξιος. εὐρυρέ. εθρος (Φ 141).
δ̄ λείψει ὅ. δ' ἡμέας. εἶσι κυ. δοιμή. σων ἐς Ὀ. λυμπον (Ο 135).
ε̄ ἰῷ ἐ. πεσσύμε. νον βάλε. τείχεος. ὑψη. λοῖο (Μ 388).

Οἶμαι μηδὲ τὰ νεογνὰ βρέφη ἀγνοεῖν λοιπὸν τὴν τῶν σχημάτων ἀκρί-
15 βειαν.

Σκόπησον δὲ καὶ τὸ ἐναντίον πῶς γίνεται, λέγω δὴ τὸ ἐξ ἑνὸς δακτύλου καὶ τεσσάρων σπονδείων·

ᾱ νῆα ἅ. λις χρυ. σοῦ καὶ. χαλκοῦ. νηή. σασθαι (Ι 279).
β̄ δάμνᾳ. ἀθανά. τους ἡ. δὲ θνη. τοὺς ἀν. θρώπους (Ξ 199).

---

7 συγκειμένων *A* ‖ π̄] πι *A* ‖ 9 ἀπόρουσεν *Homerus* ‖ ἐπι *A* ‖ 10 Ἀξιοῦ *Homerus*, ἀξίου *A et Homeri codices aliquot* ‖ ἵ.ησι *A* ‖ 11 πηλεγο.νοστον. δαξία. εὐρὺ ῥέεθρον *A* ‖ Ἀξιὸς *Homerus*, ἄξιος *Homeri codices aliquot* ‖ 12 λείψειο. δημεασ. εισι κυ. δοιμη. σωνεσο.λυμπον *A* ‖ 13 ιω ἐ. πεσσυμέ. νον *A* ‖ 14 μὴ δὲ *A* ‖ 18 νῆα ἅ.λις *A* ‖ 19 ἀθάνα. τοὺς ἡ. δε θνη. τοὺς *A*

γ̄	ἰδρώ.	σει μέν.	τευ Τελα.	μὼν ἀμ.	φὶ στή.	θεσσι	(B 388).
δ̄	ταῦρον.	δ' Ἀλφεὶ.	ῷ ταῦ.	ρον δὲ Πο.	σειδά.	ωνι	(Λ 728).
ε̄	ἄλλον.	δ' ἐνθέν.	δε χρυ.	σὸν καὶ.	χαλκὸν ἐ.	ρυθρόν	(I 365).

Μεμάθηκας ἐκ τῆς ἀποδείξεως, ὡς οὐδὲν ἀσαφὲς ἡ τῶν ἀρχαίων ἀφῆκε φωνὴ οὐδὲ ἀλόγως ἡμῖν τῶν σχημάτων τὴν τάξιν παραδεδώκασιν· εἶχον γὰρ ἀληθῶς συνεστῶτα τὸν λογισμόν.

Λοιπὸν δὲ καὶ ἐπὶ τὰ δεκάσχημα μεταβῆναι καιρός. γίνεται δὲ καὶ τούτων ἡ τάξις τρόπῳ τοιῷδε·

περὶ τῶν δεκασχήμων.

Εἰ μὲν ἐκ δύο σπονδείων καὶ τριῶν ὑπάρχει δακτύλων, εὑρήσεις τὸν σπονδεῖον γινόμενον ἢ πρῶτον καὶ δεύτερον ἢ πρῶτον καὶ τρίτον ἢ πρῶτον καὶ τέταρτον ἢ πρῶτον καὶ πέμπτον, καὶ πάλιν ἢ δεύτερον καὶ τρίτον ἢ δεύτερον καὶ τέταρτον ἢ δεύτερον καὶ πέμπτον, καὶ ὁμοίως ἢ τρίτον καὶ τέταρτον ἢ τρίτον καὶ πέμπτον, καὶ ὁμοίως ἢ τέταρτον καὶ πέμπτον· ἅπερ δέκα γίνεται σχήματα.

Ἔσται δέ σοι καὶ τοῦτο σαφὲς διὰ τῆς τοῦ κανόνος ἀποδείξεως, σημαίνοντος, ὡς εἰρήκαμεν, τοῦ μὲν π̄ στοιχείου τὸν σπονδεῖον, τοῦ δὲ δ̄ τὸν δάκτυλον·

α	β			
π	π	δ	δ	δ

ᾱ	Αἴας.	δὲ πρῶ.	τος Τελα.	μώνιος.	ἕρκος Ἀ.	χαιῶν	(Ζ 5[illegible].
β̄	ἀρτύν.	θη δὲ μά.	χη στὰν.	δ' ἀντίοι.	ἐκ δ' Ἀγα.	μέμνων	(Λ 21[illegible] 6).
γ̄	βάλλ' αἰ.	εἰ δὲ πυ.	ραὶ νεκύ.	ων καί.	οντο θα.	μειαί	(Λ 52[illegible]).
δ̄	ὡς εἰ.	πὼν ποδὸς.	εἶλκε κα.	τὰ κρατε.	ρὴν ὑ.	σμίνην	(N 38[illegible]3).
ᾱ	πάντοσε.	παπταί.	νων μή.	τις χρόα.	χαλκῷ ἐ.	παύρῃ	(N 64[illegible]9).
β̄	ἐκ πόλι.	ος δ' ἄ.	ξαντο βό.	ας καὶ.	ἴφια.	μῆλα	(Θ 54[illegible]5).
γ̄	καρπαλί.	μως οἶ.	νον δὲ με.	λίφρονα.	οἰνί.	ζοντο	(Θ 5[illegible]6).
ᾱ	Θεσσαλοῦ.	υἷε δύ.	ω Ἡ.	ρακλεί.	δαο ἄ.	νακτος	(B 6[illegible]9).

1 τεῦ *A* ‖ ἀμ.φι *A* ‖ 2 δὲ] δε *A* ‖ 3 ἐνθένδ.ε *A* ‖ 11 γινόμενον ἢ] γινόμενον [illegible] *A* ‖ 19 δε *A* ‖ ἕρκος *A* ‖ 20 δε *A* ‖ στάν δ'. ἀντίοι *A* ‖ ἐκ *A et Homeri codices aliquot*, ἐν *Homerus* ‖ 21 αἰ. εἰ δε πυ. ραὶ νεκυων *A* ‖ 25 δε *A* ‖ 26 θεσσαλου δου. ω ηρακλεῖ. δαοάνακτος *A littera ab exitu octava correctione effecta*

β̄ οἱ δὲ πα. νημέρι. οι μολ. πῇ θεὸν. ἱλάσ. κοντο (A 472).
ᾱ οὐ γὰρ ἔ. τ' ἔμπεδα. γυῖα πο. δῶν ἦν. ὁρμη. θέντι (N 512).

ἔχεις μετὰ τῶν ἤδη ῥηθέντων τὴν ἀπὸ τοῦ παρόντος κανόνος ὠφέλειαν· δείκνυσι γάρ σοι σαφῶς ὡς συνιόντες ἀλλήλοις οἱ πόδες καὶ ἀμοιβαδὶς συμπλεκόμενοι καὶ μετά τινος τάξεως ἐναρμονίου χορεύοντες τὸν ἀριθμὸν ἀποπληροῦσι τῶν δέκα σχημάτων. καὶ ταῦτα μέν, ὅταν ἀρχόμενοι τύχωσιν οἱ σπονδεῖοι.

Τὸ αὐτὸ δὲ συμβαίνει καὶ ὅταν οἱ δάκτυλοι πάλιν ἡγήσωνται· μαθήσῃ δὲ τοῦτο τοῖς ἑξῆς·

ᾱ καὶ β̄	δ	δ	π	π	π
ᾱ καὶ γ̄	δ	π	δ	π	π

ᾱ πρός τε θε. ὧν μακά. ρων πρός. τε θνη. τῶν ἀν. θρώπων (A 339).
β̄ γῆμεν ἀ. νὴρ ὤ. ριστος ἐ. νὶ Τροί. ῃ εὐ. ρείῃ (N 433).
γ̄ ἦ γὰρ ἂν. Ἀτρεί. δη νῦν. ὕστατα. λωβή. σαιο (A 232= B 242).
⟨δ̄⟩ ταρφέα. βάλλον. τες Τρώ. ων ῥή. γνυντο φά. λαγγας (N 718).
ᾱ αὐτὸς. δ' ἀντίον. ἵζεν Ὀ. δυσσῆ. ος θεί. οιο (I 218).
β̄ οἱ δ' ἀμ. φ' Ἀσκαλά. φῳ αὐ. τοσχεδὸν. ὡρμή. θησαν (N 526).
γ̄ χάρτι. στοι μὲν ἔ. σαν καὶ. χαρτί. στοις ἐμά. χοντο (A 267).
ᾱ ἀφνει. οἱ πί. νοντες ὕ. δωρ μέλαν. Αἰσή. ποιο (B 825).
β̄ μὴ δή. μοι φύ. ξιν γε Δό. λων ἐμ. βάλλεο. θυμῷ (K 447).
⟨ᾱ⟩ ἐγγὺς. γὰρ νη. ῶν καὶ. τείχεος. αὖλιν ἔ. θεντο (I 232).

---

2 ᾱ] γ̄ *A* ‖ 11 ἡ *A* ‖ 12 φάλαγγες *A* ‖ 13 αὐτός *A* ‖ ἵξεν *A* ‖ θει. οίο *A* ‖ 14 οἱ δ' ἀμ. φασκαλα. φω αυ. τοσχεδον. ορμή. θησαν *A* ‖ 16 ᾱ] β *A* ‖ αἴση. ποῖο *A* ‖ 17 γ μὴ δὴ. μὴ φύ. ξιν *A* ‖ 18 αὐλίδ' ἔθεντο *A*

⟨II. De pedum nominibus.⟩

(pag. 253 ed. Nauck) § 1. Περὶ τῆς τῶν ποδῶν ὀνομασίας.

Αἱ ὀνομασίαι τοίνυν τῶν ποδῶν ἐξευρέθησαν ἢ ἀπὸ ῥυθμῶν ἢ ἐθνῶν ἢ συνθέσεως ἢ ἀριθμῶν.

§ 2. Πυρρίχιος μέν, ὅτι βραχύτατός ἐστι καὶ γοργὸς καὶ ὀξεῖαν ποιεῖται καὶ σύντομον τὴν κίνησιν τῶν χρόνων, ὥσπερ καὶ ἡ καλουμένη πυρρίχη, ἀφ' ἧς καὶ τὴν προσηγορίαν ἐδέξατο· πυρρίχη δέ ἐστιν ἔνοπλος ὄρχησις μετὰ πολλῆς ἐπιτελουμένη συντομίας τε καὶ ὀξύτητος· μιμησάμενος οὖν αὐτῆς τὴν σύντομον κίνησιν κοινωνὸς καὶ περὶ τὴν ὀνομασίαν ἐγένετο. ἄλλοι δὲ φασὶν ὀνομασθῆναι πυρρίχιον ἀπὸ τοῦ τοὺς προσιόντας τοῖς βωμοῖς μετὰ πυρὸς κεχρῆσθαι αὐτῷ· ἡνίκα γὰρ ἥπτον βωμόν, περιέτρεχον αὐτὸν ἐν κύκλῳ, λέγοντες ταχέως μέλη τινὰ ἐκ πυρριχίων συγκείμενα, πρὶν ἢ σβεσθῆναι τὸ πῦρ. Καλεῖται δὲ καὶ παρίαμβος, ἐπειδὴ παρὰ τὰ τέλη τῶν ἰαμβικῶν εὑρίσκεται μέτρων· ἄλλως τε καὶ παρά τι ὅμοιοι εἰσὶν ἴαμβος καὶ πυρρίχιος· περὶ τὴν ἐσχάτην
(254) γὰρ μόνον διαλλάσσουσι συλλαβήν, ἥτις ἐστὶν ἐπὶ παντὸς μέτρου ἀδιάφορος. Τινὲς δὲ αὐτὸν ἡγεμόνα φασίν, ἐπειδήπερ ἐξ αὐτοῦ οἱ ἄλλοι πόδες προῖασιν. Οὗτος δὲ ὁ πυρρίχιος κατὰ πόδα μὲν οὐ βαίνεται διὰ τὸ κατάπυκνον γενέσθαι τὴν βάσιν καὶ συγχεῖσθαι τὴν αἴσθησιν, κατὰ διποδίαν δὲ συντιθέμενος ἐπὶ τὰ καλούμενα πυρριχιακὰ πρόεισι τετράμετρα, ὧν ὑπόδειγμα τόδε·

ἴθι μόλε ταχύποδος ἐπὶ δέμας ἐλάφου
πτεροφόρον ⟨ἀνὰ⟩ χερὶ δόναχα τιθεμένη (fr. lyr. adesp. 113 Bergk).

Conf. ad hanc, qua de pedum nominibus agitur, doctrinam inprimis Anecdota Chisiana § 1ᵃ *supra pag.* 204—206; *Choeroboscí Exegesin pag.* 57, 22 *sqq.*; '*scholia Hephaestionea B*' *pag.* 27, 20 *sqq.* (*quorum scholiorum doctrina in explicandis pedum tetrasyllaborum nominibus ad unum Choeroboscum, in explicandis trisyllaborum nominibus et ad hunc et ad Dionysii qui fertur tractatum de pedibus et* [*minimam partem*] *ad eundem ex quo hoc Anonymi Ambrosiani caput profluxit fontem, in explicandis disyllaborum nominibus et ad hunc quem modo dixi fontem et ad Dionysii qui fertur tractatum redire videtur*); '*scholia Hephaestionea A*' *supra pag.* 128 *sq.*; *Dionysii qui fertur tractatum de pedibus* (*supra pag.* 161 *sq.*) *et eos qui ex hoc profluxerunt tractatus Byzantinos*; *tractatum de pedibus misere mutilum* (*nondum editum*) *qui legitur in margine folii* 25ᵛ *codicis Vaticani* 915; *Pseudo-Hephaestionem* § 1ᵇ *et Isaacum Monachum pag.* 174, 25 *sqq. cum Pseudo-Dracone pag.* 115 *sqq. Ex latinis scriptoribus conferas*: *Diomedem pag.* 475, 9 *sqq.*; *Terentianum Maurum* 1335 *sqq.*; *Marium Victorinum pag.* 44, 10 *sqq.*; *Marium Plotium Sacerdotem pag.* 497, 13 *sqq.*; *Audacis excerpta pag.* 333, 25 *sqq.* (*ed. Keil*). *Conf. etiam Westphalium* '*Metrik*' I² *pag.* 202 *sqq.* ‖ 2 ονομασίαι *A* ‖ 3 συνθέσεων *Anecd. Chis.*, '*scholia Hephaestionea A*', '*scholia Hephaestionea B*' *pag.* 27, 21 ‖ 5 πυρράχη *A* ‖ 7 τὲ *A* ‖ 8 περὶ] π̄ *A*, παρὰ *Keil Nauck* ‖ 11 πρινὴ *A* ‖ 12 παρὰ *A et Anecd. Chis.*, περὶ '*scholia Hephaestionea B*' *pag.* 27, 26; κατὰ *mavult Nauck* ‖ 14 διαλάσσουσι *A* ‖ 15 φασὶν *an* φασὶ *incertum A* ‖ 20 ⟨ἀνὰ⟩ χερὶ δόναχα τιθεμένα *Bergk*, χελιδόνα καθημένην *A*; *conf. Anecd. Chis. et* '*scholia Hephaestionea B*' *pag.* 27, 33

§ 3. Περὶ τροχαίου.

Τροχαῖος δ' ἐκλήθη, ὅτι τροχαλὸν ἔχει τὸν ῥυθμόν· καὶ γὰρ ὁ Ἀρχίλοχος ἐπὶ τῶν θερμῶν ὑποθέσεων αὐτῷ κέχρηται, ὡς ἐν τῷ

Ἐρξίη, πῇ δηὖτ' ἄνολβος ἀθροΐζεται στρατός (fr. 60 Bergk);

5 καὶ Εὐριπίδης

θᾶσσον ἤ μ' ἐχρῆν προβαίνων ἱκόμην δι' ἄστεος (Orest. 729).

ἢ διὰ τὸ ἐπιτροχάδην λέγεσθαι τὸ μέτρον τοῦτο ἀπὸ μεταφορᾶς τῶν δρόμων, οἵτινες τρόχοι παροξυτόνως καλοῦνται, ὡς Εὐριπίδης

ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι (Med. 46).

10 ἢ ὅτι τὸν τροχὸν μιμεῖται τοῦ ἅρματος, ὃς κυλιόμενος γίνεται ποτὲ μὲν ὑψη- (255)
λός, ὅπερ σημαίνει ἡ μακρά, ποτὲ δὲ ταπεινός, ὅπερ δηλοῖ ἡ βραχεῖα· δίκην οὖν τοῦ τροχοῦ τροχαῖον αὐτὸν προσηγόρευσαν.

§ 4. Περὶ ἰάμβου.

Ἴαμβος δ' ἐκλήθη ἀπὸ Ἰάμβης τῆς Κελεοῦ καὶ Μετανείρης θεραπαίνης.

15 ὅτε γὰρ ὁ Ἀιδωνεὺς τὴν Περσεφόνην, ὡς μυθεύουσιν, ἥρπασε, περινοστοῦσα αὐτῆς κατὰ ζήτησιν ἡ Δήμητρα παραγίνεται πρὸς Κελεὸν καὶ Μετάνειραν· οἱ δὲ αὐτὴν φιλοφρόνως δεξάμενοι πείθουσι τροφῆς τε μεταλαβεῖν καὶ ποτοῦ. τότε οὖν πολλὰ σκωπτικὰ πρὸς τὴν Δήμητραν εἶπεν ἡ τῶν ὑποδεξαμένων θεράπαινα, ὡς ἄμετρον αὐτῆς τὴν λύπην διαβάλλουσα καὶ βουλομένη πρὸς εὐ-

20 θυμίαν μεταβαλεῖν· τέλος δὲ καὶ τὸ ἱμάτιον ἀνασύρασα τὸ γεννητικὸν αὐτῇ δείκνυσι μόριον· ἡ δὲ ὑπό τε τοῦ οἴνου καὶ τῶν εἰρημένων νικᾶται καὶ εἰς γέλωτα τρέπεται. καὶ ἐξ ἐκείνου νόμος ἐν τοῖς Θεσμοφορίοις ἐγένετο ἐπερχομένας τὰς γυναῖκας λοιδορεῖν τε καὶ λέγειν ἀλλήλας κακῶς μετὰ γέλωτος. ἰάμβους δὲ τὰς ὕβρεις ἐκάλουν οἱ παλαιοὶ ἀπὸ τοῦ ἰάπτειν, ὅ ἐστι βλάπτειν·

25 οἷς καὶ ὁ Ἀρχίλοχος κέχρηται ὑβριστὴς ὤν.

ἄλλοι δὲ καλοῦσιν αὐτὸν ἴαμβον καὶ λέγουσι κληθῆναι ἀπὸ Ἰάμβης τινὸς οὕτω καλουμένης γραός, ἥτινί ποτε ὁ Ἱππώναξ ὑπήντησε καὶ ἀκουσίως τῆς σκάφης ἁψάμενος, ἐφ' ἧς τὰ ἔρια ἔπλυνεν, ἤκουσε λεγούσης αὐτῆς

ἄνθρωπ', ἄπελθε· τὴν σκάφην ἀνατρέψεις.

ἢ ἀπὸ Ἰάμβης οὕτω καλουμένης κόρης, ἥτις αἰσχρῶς ὑβρισθεῖσα τὸν βίον ἀγ-

---

3 ὑποθέσεων *A* (*per scripturae compendium*) *et Anecd. Chis.*, ὑποθηκῶν *Bergk Nauck* ‖ 4 ἐρξίη πῇ δηὖτ' ἄνολβος ἀθροΐζεται *Hephaestionis* (*cap.* VI) *codex optimus A, fere idem praebet idem codex optimus in 'scholiis Hephaestioneis B' pag.* 12, 9 *et* 19 (*nisi quod posteriore loco* ἐρξίη *habet*), ἐξίη πῇ δε ἠύτε ἄνολβος ἀθροΐζεται *A*; *conf. etiam Anecd. Chis. et Bergkium ad Archil. fr.* 60 ‖ 6 ἤ μ' *Euripides et Anecd. Chis.*, ἤλι' *A*: *maxime corruptum initium huius versus legitur in Dionysii Thracis codice Monacensi graeco* 310, *conf. Georgii Vhlig prolegomena in Dion. Thrac. pag.* XV 10. 11 ‖ 7 τοῦτο *Nauck*, τούτων *A* ‖ 9 ἄλλοι δε *A* ‖ 14 κελαίου *A* ‖ μετανείρης *A* (*eandem formam epicam habet tractatus de pedibus in margine codicis Vaticani* 915; *conf. etiam 'scholia Hephaestionea B' pag.* 28, 3 *et Dionysii qui fertur tractatum de pedibus pag.* 161), Μετανείρας *Nauck* ‖ 16 κελαιὸν *A* ‖ 17 τὲ *A* ‖ 23 ἀλλήλας *Nauck*, ἀλλήλαις *A* ‖ 26 καλοῦσι *A* ‖ αὐτὸν *A ita ut litterae* αὐ *supra versum exstent* ‖ 27 ἥτινι *A* ‖ ἱπώναξ *A*, Ἱππῶναξ *Nauck* ‖ 29 ἀνατρέπεις *Anecd. Chis. et 'scholia Hephaestionea B' pag.* 28, 8; *conf. Choeroboscum pag.* 58, 25 *sqq.*

χόνῃ κατέλυσεν, ὅπερ καὶ αἱ Λυκαμβίδες ἐπὶ τοῖς Ἀρχιλόχου ποιήμασιν ἔδρασαν. ἢ παρὰ τὸ ἰὸν βάζειν, ὅπερ ἐστὶν ἰοῦ καὶ πικρίας ἀνάμεστα ῥήματα λέγειν· μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ ὁ ποιητὴς Καλλίμαχος· καὶ γὰρ περὶ τοῦ Ἀρχιλόχου λέγων ἐν τῷ Γραφείῳ φησὶν οὕτως

(256) εἵλκυσέ τε δριμύν τε χόλον κυνὸς ὀξύ τε κέντρον 5
σφηκός, ἀπ' ἀμφοτέρων [δ'] ἰὸν ἔχει στομάτων (fr. 37ᵃ Schneider)·

λοιδορητικὸν γάρ ἐστι τὸ μέτρον, καὶ ἰαμβίζειν τὸ λοιδορεῖν σημαίνει παρὰ τοῖς παλαιοῖς.

§ 5. Περὶ σπονδείου.

Σπονδεῖος δ' ἐκλήθη ἀπὸ τοῦ ῥυθμοῦ τοῦ ἐν ταῖς σπονδαῖς ἐπαυλουμένου τε καὶ ἐπᾳδομένου, οἷον 10

σπένδωμεν ταῖς Μνάμας παισὶν Μούσαις καὶ τῷ μουσάρχῳ Λατοῦς υἱεῖ
(Terpandr.? fr. 3 Bergk).

ἢ ὅτι μακρότατος ἐστὶ τῶν ὁμογενῶν· εἰς μακροτέρους δὲ χρόνους εὐχόμεθα σώζεσθαι τὰ σπονδεῖα ἐν ταῖς θυσίαις τε καὶ σπονδαῖς· ὥσπερ γὰρ τῷ πυρ- 15 ριχίῳ ὁλοβράχει ὄντι διὰ τὴν συντομίαν ἐκέχρηντο παρὰ τοῖς βωμοῖς, οὕτω καὶ τῷ σπονδείῳ ὡς μακροτάτῳ τυγχάνοντι ἐπὶ τῶν ὑποθέσεων τῶν χρόνου δεομένων ἐχρῶντο, ἀγαθὸν αὐτὸν οἰωνὸν τῆς πολυχρονίου σύμμαχίας ποιούμενοι.

§ 6. Περὶ δακτύλου.

Δάκτυλος δὲ ἐκλήθη ἀπὸ τῶν Δακτύλων, οὓς ἐπιλαβομένη τῆς γῆς ἀνῆ- κεν ἡ Ῥέα. Ἡ δὲ ἱστορία τοῦτον ἔχει τὸν τρόπον. μαντευόμενος ὁ Κρόνος περὶ τῶν μελλόντων αὐτῷ συμβῆναι, ἤκουσε παρὰ τοῦ μάντεως, ὅτι εἷς τῶν παίδων αὐτοῦ μέλλει τῆς βασιλείας αὐτὸν ἐκβαλεῖν· εὐλαβούμενος οὖν τὰ τικτόμενα βρέφη κατέπινεν. λυπουμένη δὲ πρὸς τοῦτο ἡ τοῦ Κρόνου γυνή, ὅτε ἔλαβεν ἐν γαστρὶ τὸν Δία, ἔφυγεν εἰς τὴν Ἴδην, ὄρος δὲ τοῦτο τῆς Κρήτης,
(257) κἀκεῖσε διέτριβε τὴν ὥραν τοῦ τοκετοῦ περιμένουσα. ὡς δ' ἧκεν ἡ προθεσμία καὶ αἱ τῶν ὠδίνων ἐπέκειντο βάσανοι, μὴ φέρουσα τὰς ἀλγηδόνας ἐπεστήριξε κατὰ τοῦ ὄρους τὰς χεῖρας· τὸ δὲ ὄρος εὐθὺς ἰσαρίθμους τῶν δακτύλων ἐγέννησε δαίμονας, οἵτινες περιστάντες αὐτὴν ἐμαιώσαντο. ἡ δὲ γεννήσασα λίθον μὲν ἀντὶ τοῦ παιδὸς σπαργανώσασα τῷ Κρόνῳ προσήνεγκεν· ὁ δὲ καὶ 30 τοῦτον κατέπιεν. τῷ δὲ βρέφει δίδωσι τροφὸν αἶγα καλουμένην Ἀμάλθειαν, καὶ τοὺς εἰρημένους δὲ περιέστησε δαίμονας· οὗτοι οὖν ἔσκεπόν τε τὸ βρέφος καὶ περὶ αὐτὸ χορεύοντες ἔτυπτον τὰς ἀσπίδας εὐκόσμως, καὶ ἀπετέλουν ῥυθ-

---

3 *ante* καλλίμαχος *A*¹ *delevit* ἀρχί *litteras* ‖ 4 γραφείῳ *potius quam* γραφίῳ *videtur in A exstare* ‖ 3—6 *conf. Callimachea ed. Otto Schneider vol.* II *pag.* 166 *sqq.* ‖ 5 εἵλκυσέ τε *A*, εἵλκυσε δὲ ? *Anecd. Chis.* (*conf. Mangelsdorf pag.* 6 *sq.*) ‖ χόλον] λόχον *A* ‖ 6 *conf. Anecd. Chis.* ‖ στόματος *Schneider* ‖ 10 σπονδαῖς] σποδαῖς *A* ‖ *ab* ἐπαυλουμένου *incipit fol.* 80ʳ *A* ‖ 11 τὲ *A* ‖ 12 Μνάμας *Keil*, μνάμαις *A et fere item codices Anecd. Chis.* ‖ Μώσαις καὶ τῷ Μωσάρχῳ *Bergk* ‖ Μούσαις *et* τῷ *delenda suspicatur Nauck* ‖ υἱεῖ *A* ‖ 15 *post* σώζεσθαι *fortasse nonnulla interciderunt* (*conf. Anecd. Chis.*); *e. g. haec temptes*: σώζεσθαι (πάντες. ἢ ὅτι ᾄδεται [*vel* προσαυλεῖται]) τὰ σπονδεῖα *vel similia.* ‖ τὲ *A* ‖ 25 Ἴδαν *Keil* ‖ 28 ἰσαρίθμους *Nauck*, εἰς ἀριθμοὺς *A* ‖ 31 Ἀμάλθειαν *Nauck*, ἀμαλθίαν *A* ‖ 33 ἔτυπτον *an* ἔτυπον *incertum A*

§ 10. Περὶ βακχείου.

Βακχεῖος δὲ εἴρηται, ἐπειδὴ βακχικὸν καὶ ὑγρότερον καὶ λελυμένον ἔχει τὸν ῥυθμὸν τῆς μελοποιίας. διὸ καὶ ὑποβάκχειος καλεῖται. δείκνυσι δὲ αὐτοῦ τὴν ὑγρότητα τὸ παράδειγμα, οἷον

ἀμείβω κέλευθον· σκοπεὺς ἀπατᾷ (Eurip. Orest. 1295)· 5

(259) καὶ

ἰὼ πᾶν· ἰὼ πᾶν· ὦ παῖ τοι ὦ παῖ τοι· ἀπέστα ἀπέστα.

τὰ γὰρ τῷ Διονύσῳ ᾀδόμενα μέλη βακχικὰ ᾄσματα καλοῦσι τινές, ἃ τούτῳ τῷ μέτρῳ γινόμενα μᾶλλον θειότερα· ὅθεν καὶ παιᾶνας αὐτοὺς ἐκάλεσαν ἕτεροι, συμμιγνύντες τῷ βακχείῳ τὸν παιᾶνα. 10

§ 11. Περὶ παλιμβακχείου.

Εἴρηται δὲ οὗτος παρά τινων ἀντιβάκχειος ἢ νύσιος διὰ τὸ καὶ αὐτὸν ἁρμόζειν τοῖς διονυσιακοῖς μέλεσιν, ἢ προσοδιακὸς ἢ πόμπιμος.

§ 12. Περὶ χορείου.

Χορεῖος δὲ εἴρηται, ἐπειδὴ πρὸς τὰς συντόνους τε καὶ μεγάλας χορείας πεποίηται· διὸ καὶ οὕτως κέκληται ὡς ἀπὸ τῶν χορῶν χορεῖος παραγωγῶς. ὁ γοῦν Σοφοκλῆς ἐν τῷ Θαμύρᾳ φησὶ 15

πρόσωδα μέλεα τάδέ σε κλαίομαι τρόχιμα βάσιμα χερσὶ πόδεσσιν (fr. 228 Dindorf)·

ὑπόδειγμα δὲ αὐτοῦ καὶ τόδε 20

(260) Βρόμιε, δορατοφόρ', ἐνυάλιε, πολεμόκλονε, πάτερ Ἄρη (fr. lyr. adesp. 108 Bergk).

§ 13. Περὶ μολοσσοῦ.

Μολοσσὸς δὲ κέκληται ἀπὸ Μολοσσῶν, ὡς ὁ κρητικὸς ἀπὸ τῶν Κρητῶν. ἢ ὅτι τὰ μεγάλα μολοσσικὰ ἐκάλουν· Σοφοκλῆς

---

2 βακχικὸν *Nauck*, βακχεικὸν *A* ‖ 5 σκοποῦσα πάντᾳ (*alii* σκοποῦσ' ἅπαντα) *Euripides, apud quem* σκοπεύουσ' ἁπαντᾷ *scribendum esse arbitratur Nauck 'Euripideische Studien'* I *pag.* 61; σκοπευτὴς ἁπαντᾷ *Schneidewin Bergk* ‖ 7 *Nauck e. g. proponit* ἰὼ Ζεῦ, ἰὼ γᾶ (*Eurip. Phoen.* 1290) *vel potius* ἰὼ Πάν, ἰὼ Πάν *et deinde* ὀτοττοῖ ὀτοττοῖ *aut* ὀτοττοῖ ποποῖ δᾶ (*Aesch. Agam.* 1072. 1076) *et* Ἀπόλλων Ἀπόλλων (*Aesch. Agam.* 1073. 1077. 1080. 1085) ‖ 8 βακχικὰ *Nauck*, βακχεικὰ *A* ‖ 9 θειότερα *Keil*, διότερα *A* ‖ 11 παλινβακχείου *A* ‖ 12 ἀντιβάκχειος *Keil*, ἀντιβακχεῖος *an* ἀντιβακχειὸς *A* ‖ νύσιος *A*, *conf. Choerobosci Exeges. pag.* 60, 6; Διονύσιος *probabiliter Keil ex Choerobosci Exegesi pag.* 60, 8 *et 'scholiis Hephaestioneis B' pag.* 29, 1 ‖ 13 πομπικός *Nauck*; *conf. etiam Choerobosci Exeges. pag.* 60, 10 *et 'scholia Hephaestionea B' pag.* 29, 2 ‖ 15 τὲ *A* ‖ 16 παραγωγῶς *Keil*, παραγώγως *quam* παραγώνως *in A exstare probabilius est* ‖ 17 ἐν τῷ Θαμύρᾳ *Nauck*, τὰ θάμυρα *A*, ἐν τῷ Θαμύριδι *Choerobosci Exeges. pag.* 60, 16 ‖ 18 *sic A perperam*; πρόποδα μέλεα· τὰ δ' ὅσα κλύομεν τρόχιμα βάσιμα χέρεσι πόδεσι *Choerobosci Exeges. l. l.*; χερί τε ποδί τε *maevult Nauck* ‖ 21 δορατοφόρε *A* ‖ πολεμοκέλαδε *Dionysius Hal. de comp. verb. cap.* 17 (*qui omittit verba* πάτερ Ἄρη) ‖ πατεραρη *an* πάτεραρη *A cum rasura supra* ρα *litteras* ‖ 24 Κρητῶν *Nauck*, κρητικῶν *A*

μολοσσικαῖσι χερσὶν ἐκτείνων χεῖρας (fr. 894 Dindorf).
Τινὲς δὲ αὐτὸν καὶ ἵππιον ὀνομάζουσιν. Ἄλλοι δὲ ἀπὸ Μολοσσοῦ τοῦ Νεοπτολέμου καὶ Ἀνδρομάχης παιδὸς μολοσσὸν αὐτὸν ἐκάλεσαν, ὥς τινες καὶ τὸν πυρρίχιον ἀπὸ Πύρρου κεκλήκασιν· οἷς οὐ δεῖ προσέχειν· βέλτιον γὰρ αὐτὸν
5 εἰρῆσθαι ἀπὸ τοῦ ἔθνους τῶν Μολοσσῶν.

§ 14. Οἱ μὲν οὖν ἁπλοῖ πόδες οὗτοι τυγχάνουσι. Τούτων δὲ οἱ μὲν ἐν ἴσῳ θεωροῦνται λόγῳ, οἱ δὲ ἐν διπλασίονι, οἱ δὲ ἐν ἡμιολίῳ. Τοῦ μὲν οὖν ἴσου λόγου εἰσὶ τέσσαρες, πυρρίχιος, σπονδεῖος, δάκτυλος, ἀνάπαιστος· τούτων γὰρ ἴσαι αἱ ἄρσεις καὶ ἴσαι αἱ θέσεις. Τοῦ δὲ διπλασίονος ὁμοίως τέσσαρες, ἴαμ-
0 βος, τροχαῖος, τρίβραχυς, μολοσσός· τούτων γὰρ ἤτοι ἡ ἄρσις διπλασίων ἐστὶ τῶν θέσεων ἢ τὸ ἀνάπαλιν. Τοῦ δὲ ἡμιολίου τρεῖς, βακχεῖος, παλιμβάκχειος, κρητικός. ἐν μὲν οὖν τῷ κρητικῷ κατὰ σχέσιν τῶν μέτρων ὁτὲ μὲν ἡ ἄρσις ⟨τὴν μακρὰν καὶ τὴν βραχεῖαν περιέχει, ἡ δὲ θέσις⟩ τὴν μακράν, ὁτὲ δὲ ἔμπαλιν ἡ μὲν ἄρσις τὴν μακράν, ἡ δέ θέσις τὴν βραχεῖαν καὶ τὴν μακράν. (261)
5 ἐπὶ δὲ τῶν βακχείων διωρίσθαι πάλιν ἀνάγκη· ἐν μὲν τῷ βακχείῳ τὴν μὲν ἄρσιν μίαν ἔχειν μακράν, τὴν δὲ θέσιν μακρὰν καὶ βραχεῖαν, ἐν δὲ τῷ παλιμβακχείῳ τὴν μὲν ἄρσιν ἐκ βραχείας καὶ μακρᾶς, τὴν δὲ θέσιν ἐκ μακρᾶς· εἰ δὲ μή γε, εἰς τριπλασίονα ἐκπίπτει λόγον. ἡμιόλιος δέ ἐστι λόγος ὁ περιέχων ἐν ἑαυτῷ τὸν ἀριθμὸν τὸν ὅλον καὶ προσέτι τὸ ἥμισυ αὐτοῦ· ὁ γοῦν τρία
20 περιείληφε τόν τε δύο ἀριθμὸν καὶ τὸ ἥμισυ τούτου τὸν ἕνα· τὸ δὲ αὐτὸ κατὰ ἀναλογίαν καὶ ἐπὶ πάντων τῶν τοιούτων θεωρείσθω. Ὁ δὲ ἀμφίβραχυς τριπλασίονος ὢν λόγου ἄθετός ἐστιν εἰς μετροποιίαν· εἰ δὲ λέγοις ὅτι καὶ μὴν τετράχρονός ἐστιν ὁ σπονδεῖος, ἀλλ' ἐκεῖνος μὲν ἔχει τὰς συλλαβὰς καὶ τοῦ χρόνου αὐτοῦ τὴν ἴσην διαίρεσιν ἐχούσας, ὁ δὲ ἀμφίβραχυς οὐκ ἔχει.

5 § 15. Περὶ προκελευσματικοῦ.

Ὁ προκελευσματικὸς ὠνόμασται οἱονεὶ παρακελευσματικὸς ὤν· συντρέχουσι γὰρ αἱ βραχεῖαι τῇ κελεύσει. καίτοι γε ἥσσονας χρόνους ἔχων τοῦ μολοσσοῦ σύνθετός ἐστι διὰ τὸ πλῆθος τῶν συλλαβῶν. Τινὲς δὲ ᾠήθησαν αὐτὸν ποιεῖν τὰ προκελευσματικὰ μέτρα, οἱ δὲ πλείους ταῦτα ἀναπαιστικὰ λε-
5 λυμένα φασίν, ὡς εἶναι ὅτε εἰς τὰ ἰωνικὰ συντελοίη ὁ μολοσσός. Τινὲς δὲ αὐτὸν καὶ ἰσάριθμον καλοῦσι.

---

1 μολοσσῆσι *Choerobosci Exeges. pag.* 60, 23 ‖ χεῖρας *A perperam*, χέρας *Keil*, πέλας *Choerobosci Exeges. l. l.*; ἐντείνων πέδας *exspectat Nauck* ‖ 2 *idem, quem Anonymus Ambrosianus* ἵππιον *vocat, a Choerobosco Exeges. pag.* 61, 2 ἵππειος *appellatur* ‖ 6 *sqq. Ad* § 14 *conf. inprimis Diomedem pag.* 480, 4 *sqq.* ‖ 9 αἱ ἄρσεις καὶ ἴσαι αἱ θέσεις] αἱ θέσεις καὶ ἴσαι αἱ ἄρσεις (*sic*) *A* ‖ *alterum* ἴσαι *rectius omittas* ‖ 11 παλινβακχεῖος *A* ‖ 13 *verba* τὴν μακρὰν καὶ τὴν βραχεῖαν ἡ δὲ θέσις (*quibus* περιέχει *ipse inserui*) *addidit Keil* ‖ 15 βακχείων *Keil*, βραχειῶν *A* ‖ πάλιν *potius quam* πᾶσα *compendio scripturae in A significari videtur* ‖ 16—17 παλινβακχείω *A* ‖ 18 τριπλασίονα *A*; *an* τετραπλασίονα *scribendum?* ‖ 22 ἀθετός *an* ἄθετός *incertum A* ‖ 29 μετρά *A* ‖ 30 ὅτε *Nauck*, ὅτι *A* ‖ 31 ἰσάριθμον *ex* εἰς ἄριθμον *correctum A*

§ 16. Περὶ παίωνος.

Ὁ δὲ παίων ῥυθμικόν ἐστιν ὄνομα· τὸν γὰρ ἐν ἡμιολίῳ λόγον παίωνα φασίν· ἡμιόλιον δέ ἐστι τὸ ἔχον αὐτὸν καὶ αὐτοῦ τὸ ἥμισυ. πάντες οὖν οἱ πεντάσημοι παίωνες καλοῦνται, ἐπειδὴ ἔχουσι δύο μακρὰς καὶ τούτων τὸ ἥμισυ· διὸ τούς τε βακχείους καὶ τὸν κρητικὸν παίωνας φασίν, ὅτι ἐπικοινωνοῦσιν ἀλλήλοις ἐν τοῖς παιωνικοῖς μέτροις· διὸ καὶ παίων ὠνόμασται. τούτῳ δὲ τῷ παίωνι ἐκέχρηντο οἱ τοὺς ὕμνους εἰς τὸν Ἀπόλλω γράφοντες. Καλεῖται δὲ ὁ μὲν πρῶτος παίων καὶ παιωνικός· ὁ δὲ δεύτερος παίων καὶ
(262) σύμβλητος καὶ κουρητικός· ὁ δὲ τρίτος παίων διδυμαῖος, κουρητικός, δελφικός, δρόμιος, ἀρίθμιος· ὁ δὲ τέταρτος παίων ὑποχηματικὸς καὶ κρητικός.

§ 17. Περὶ ἰωνικῶν.

Οἱ δὲ ἰωνικοὶ ἐκλήθησαν ἀπὸ τῶν Ἰώνων τῶν τρυφηλῶν, ἐπειδὴ κατὰ μίμησιν ἐκείνων μαλθακόν τε καὶ ἀναβεβλημένον καὶ χαῦνον ποιοῦσι τὸν ῥυθμόν· ἑλκεχίτωνες γοῦν οἱ Ἴωνες (Hom. N 685). τὰ γοῦν Σωτάδεια τούτῳ τῷ μέτρῳ γέγραπται, οἷον

τὴν μῆνιν ἄειδε, μοῦσα, τὴν Ἀχιλλέως ἐμοί.

Καλεῖται δὲ ὁ μὲν πρῶτος περσικός· ὁ δὲ δεύτερος ὑποκύκλιος.

§ 18. Περὶ χορειάμβου.

Ὁ δὲ χορείαμβος κέκληται, ἐπειδὴ τροχαιοῖαμβος ἐστίν· ἔχει γὰρ ἐν ἀρχῇ τὸν τροχαῖον καὶ ἐπὶ τούτῳ τὸν ἴαμβον. Τινὲς δὲ αὐτὸν κύκλιον, οἱ δὲ ὑποβάκχειον, οἱ δὲ βακχεῖον κατὰ τροχαῖον καλοῦσι.

---

1 παιῶνος *et hic et in sequentibus mavult Nauck* ‖ 7 ἀπόλλω *quam* ἀπόλλωνα *in A exstare multo verisimilius est* ‖ 9 συμβλητὸς *Hoerschelmann ad Choerobosci Exegesin pag.* 61, 12 ‖ 15 Σωτάδεια *scripsi* (*conf. Dionys. Hal. de comp. verb. pag.* 52 *ed. Schaefer*; *Demetr. de elocut. cap.* 189 (*ubi traditum est* σώματα); *Hephaest. cap.* XI *pag.* 36, 19 *ed. Westphal*; *Suid. s. v.* Σωτάδεια; *Maximus Planudes in Walzii Rhet.* V *pag.* 491, 3; *Quintilian.* I 8, 6; IX 4, 6. 90; *Diomed. pag.* 468, 8. 10; 510, 33 *Keil*; *Marius Victorinus pag.* 47, 2; 51, 1; 77, 32; 84, 23. 25; 91, 22; 113, 18. 22; 128, 13. 14; 131, 1. 6. 23; 144, 10; 153, 12. 14. 19. 23 *K*; *Caesius Bassus pag.* 255, 4; 261, 16; 263, 4—6; 271, 22 *K*; *Marius Plotius Sacerdos pag.* 540, 6; 541, 20. 21; 542, 2 *K*), σωματα *sequente lacuna duarum triumve litterarum A*, Σωτάδα *Keil* (*conf. Hephaest. cap.* II *pag.* 11, 3 *ed. Westphal*; *Eustath. in Iliad. pag.* 12; *Longin. apud schol. Hermog. in Walzii Rhet.* VII *pag.* 984, 6; *Syrianus in Walzii Rhet.* VI *pag.* 243, 29; *Terentian. Maur.* 1510. 2838 *K*; *Athenaeus* XIV *pag.* 620ᵉ; *Aristid. Quintil.* I *pag.* 32 *ed. Meibom* [*ubi pro* Σωτάδου *codex Vaticanus* 192 *habet* σω̄ (*sic*), *Barberinus* 270 σωτάδου (*sic*)]; *conf. etiam Augusti Meineke Analecta Alexandrina pag.* 246; *etc.*) ‖ 19 χοριάμβου *Nauck* ‖ 20 χορίαμβος *Nauck* ‖ τρᾱχείαμβος (*sic*) *A*, τροχαίαμβος *Nauck* ‖ 22 ὑποβακχεῖον *A*

§ 19. Περὶ ἀντισπάστου.

Ἀντίσπαστος δὲ ὁ τὴν ἐναντίαν τούτῳ σπῶν, ὥσπερ καὶ ὁ ἀνάπαιστος ἀντιπαίων καὶ ἀντιπαθῶν τῷ δακτύλῳ· ἐκεῖνος μὲν γὰρ ἐκ μακρᾶς ἐστὶ καὶ δύο βραχειῶν καὶ μακρᾶς, οὗτος δὲ ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βρα-
5 χείας. ὡμολόγηται δὲ εἶναι τοὔνομα ῥυθμικόν· ἀντισπᾶν γὰρ ἕως νῦν οἱ ῥυθμικοὶ τὸ τὰς χορδὰς κρούειν φασί. Τινὲς δὲ αὐτὸν σπονδειακόν, οἱ δὲ βακχεῖον κατὰ ἴαμβον ὀνομάζουσι.

§ 20. Περὶ διιάμβου.

Ὁ διίαμβος κέκληται ὡς ἐκ δύο ἰάμβων συγκείμενος. Καλεῖται δὲ καὶ (263)
10 παράλληλος ἴαμβος ἤτοι ἰαμβικὴ ταυτοποδία.

§ 21. Περὶ διτροχαίου.

Ο διτρόχαιος καὶ αὐτὸς ἐκ δύο τροχαίων συγκείμενος κέκληται. Τινὲς δὲ αὐτὸν καὶ ἀντιπαράλληλον λέγουσιν, ἤγουν κρητικὸν κατὰ Ἀριστόξενον, ἢ διχόρειον ἢ τροχαϊκὴν ταυτοποδίαν.

15 § 22. Περὶ ἐπιτρίτου.

Ὁ δὲ ἐπίτριτος ῥυθμικῶς ὠνομάσθη· οὕτως γὰρ καλοῦσιν ἐν τῷ μερισμῷ τοῦ ῥυθμοῦ ἀριθμὸν καὶ μέρος τούτου τὸ τρίτον. τὸ δὲ ὄνομα ἔχει λόγον· ἔστι γὰρ τριὰς καὶ τῆς τριάδος τὸ τρίτον· ἐπειδὴ τοίνυν ἑπτάσημοι εἰσὶν ἔχοντες τριάδα καὶ ἑτέραν τριάδα καὶ μονάδα, ἥτις ἐστὶ τριάδος τὸ τρίτον, δικαίως
20 ἐπίτριτοι καλοῦνται. Καὶ ὁ μὲν πρῶτος καλεῖται ἵππιος πρῶτος ἢ καρικὸς ἢ δόχμιος· ὁ δὲ δεύτερος ἵππιος δεύτερος ἢ ῥοδιακὸς ⟨ἢ⟩ δόχμιος ἢ κάριος ἢ τροχαϊκὸς ἑπτάσημος, ὅπερ ἐν τοῖς τροχαϊκοῖς συμβαίνει, τὸν γὰρ σπονδεῖον ἐν τοῖς ἀρτίοις δέχεται· ὁ δὲ τρίτος ἵππιος τρίτος ἢ παροδικὸς ἢ ἴαμβος ἑπτάσημος, ἐν γὰρ τοῖς ἰαμβικοῖς
25 εὑρίσκεται τὸ σχῆμα, οἷον

ἥκω Διὸς παῖς τήνδε Θηβαίαν χθόνα (Eur. Bacch. 1)·

ὁ δὲ τέταρτος ἵππιος τέταρτος ἢ μονογενὴς ἢ καὶ ἀντίσπαστος ἑπτάσημος, ἐν γὰρ ταῖς ἀρχαῖς τῶν ἀντισπαστικῶν εὑρίσκεται τὸ σχῆμα, ὃ ἄρχεται ἀπὸ σπονδείου, ὡς ἐπὶ τούτου

---

6 σπονδειακόν *Nauck ex 'scholiorum Hephaestioneorum B' pag.* 29, 16 *et Choerobosci Exegesi pag.* 62, 6, ποδιακὸν *A* ‖ 8 διάμβου *A* ‖ 9 δίαμβος *A* ‖ 13 ἀντιπαράλληλον *scripsi* (*conf. Choerobosci Exegesin pag.* 62, 10), παράλληλον *A*, παράλληλον τροχαῖον *Keil* ‖ 13—14 κατὰ ἀριστόξενον *A et Choorobosci Exeges. pag.* 62, 11, κατὰ τροχαῖον *Westphal 'Metrik'* I² *pag.* 208 ‖ 14 διχορεῖον *A* ‖ 17 ἀριθμὸν καὶ μέρος *Fridericus Hultsch* (*conf. Nicomach. Geras.* Εἰσαγ. I 19, 4, *pag.* 49 *sq. Hoche*), αὕτως καὶ ἢ *A* ‖ 20 *sqq. conf. Choerobosci Exeges. pag.* 62, 13 *sqq.* ‖ 21 ἢ (*post* ῥοδιακὸς) *addidi* ‖ 26 *conf. de hoc versu Guilelmum Mangelsdorf Anecd. Chis. pag.* 34 ‖ 27 μονογενὴς ἢ *ex A descripsit Keil*; *litterae* ἢς ἢ *nunc legi in A nequeunt* ‖ 28 ὃ *scripsi*, *in A supersunt incertissimae unius ut videtur litterae reliquiae*; *verba* ἄρχεται ἀπὸ σπονδείου *delenda esse suspicatur Nauck*

γουνοῦμαί σ', ἐλαφηβόλε,
ξανθὴ παῖ Διός, ἀγρίων
δέσποιν' Ἄρτεμι θηρίων (Anacr. fr. 1 Bergk).

(264) § 23. Περὶ δισπονδείου.

Ὁ δὲ δισπόνδειος ἀπὸ τῆς συνθέσεως εἴρηται ὡς ἐκ δύο σπονδείων συγκείμενος. Καλεῖται δὲ καὶ βατήριος ἢ σπονδειακὴ ταυτοποδία.

Καὶ τοσαῦτα μὲν ἡμῖν περὶ τῆς τῶν ποδῶν ὀνομασίας εἰρήσθω.

⟨III. De metro.⟩

Περὶ εὑρέσεως μέτρων.

Πᾶσα μὲν σοφία λογική τε καὶ βάναυσος παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ παντοκράτορος δεδώρηται τοῖς παλαιοτέροις ἀνδράσι πρὸς τὴν τοῦ βίου τοῦ παρόντος ὠφέλειαν. καὶ τοῦτο δὲ τὸ μέτρον λέγεται πρῶτον παρ' Ἑβραίοις εὑρῆσθαι καὶ πολλὰ δι' αὐτοῦ γεγράφθαι συγγράμματα, ὧν ἐστὶν ἡ τοὺς ψαλμοὺς περιέχουσα βίβλος καὶ ἕτεραι δὲ πρὸς ταύτῃ, αἵτινες ῥήμασι μὲν καὶ γράμμασιν Ἑβραϊκοῖς ἐγεγράφατο· ἐμετροῦντο δὲ τῷ διὰ τῶν ποδῶν μέτρῳ κατὰ τὴν οἰκείαν ἀκρίβειαν, ὥσπερ καὶ τὰ τῶν Ῥωμαίων ποιήματα· μεταφρασθέντα δὲ εἰς τὴν Ἑλλάδα φωνὴν κατὰ κέλευσιν τοῦ βασιλέως Πτολεμαίου τὴν μὲν τοῦ μέτρου τάξιν ἀπώλεσαν, ἔμειναν δὲ μέχρι τῆς δεῦρο γραφόμενα στιχηδὸν καὶ καλούμενα στιχηρά.

Τοῦτο οὖν τὸ μέτρον μετὰ καὶ ἑτέρων πολλῶν μεμαθηκότες παρὰ τῶν Ἑβραίων οἱ Ἕλληνες τὸν θεόν τε ἅμα τὸν δωρησάμενον καὶ τοὺς διδάξαντας ἀρνησάμενοι ἑαυτοῖς ἐπιγράφουσι τὸ εὕρεμα, μυθολογοῦντες ἐν τῇ Πυθίᾳ πρῶτον ἀναπεφωνῆσθαι αὐτό, καὶ ποτὲ μὲν ὡς ἀρχαῖον ἀποσεμνύνουσι καὶ τιμῆς ἄξιον εἶναι νομίζουσιν, ἐπιλέγοντες τὸ

ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους (Ψ 788),

ποτὲ δὲ ὡς νέον ἐκνεάζουσιν, ἐπιφέροντες

(265) τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται (α 351. 352).

Ὠνομάσθη δὲ ἀπὸ τοῦ μείρω, ὅ ἐστι μερίζω· ὥσπερ γὰρ ἀπὸ τοῦ σείω γίνεται σεῖστρον καὶ ἀπὸ τοῦ δέρω δέρτρον, οὕτως καὶ ἀπὸ τοῦ μείρω μέτρον. μάρτυς δὲ τοῦ λόγου καὶ Ὅμηρος, λέγων

δέρτρον ἔσω δύνοντες (λ 579),

ὅ ἐστιν ἔσω εἰς τὸ ἧπαρ δύνοντες· δέρτρον δὲ τὸ ἧπαρ ἐκάλεσεν ἀπὸ τοῦ δέρεσθαι τῷ αἵματι.

---

3 δέσποινα *A* || θηρῶν *Anacreon* || 6 βατήριος *A ut videtur*, ἐμβατήριος *Nauck*, ἐκβατήριος *codices Choeroboscí Exegeseos pag.* 62, 22 || ἢ *A*, καὶ *Nauck*

Capitum, quae III. *et* IV. *feci, doctrinam ex Longini prolegomenis in Hephaestionem fluxisse apparet* || 8 *a* περὶ *incipit folium* 80ᵛ *A* || 17 τῆς *A*, τοῦ *Nauck* || 20 θεὸν τὲ *A* || 24 τιμῶσι *Homerus*, τιμῶντες *A* || 25 ἐκνεάζουσιν *vel* ἐκνειάζουσιν *vel* ἐκετάζουσιν *correctione effectum A*, ἐξετάζουσιν *Keil* || 26 ἐπικλείουσ' *Homerus*, ἐπικλύουσιν *A* || 27 ἀκουόντεσι *A*

Τί ἐστι μέτρον;

Μέτρον ἐστὶ ποδῶν ἢ βάσεων σύνταξις τῇ αἰσθήσει τῇ διὰ τῆς ἀκοῆς παραλαμβανομένη.

Ποσαχῶς λέγεται τὸ μέτρον;

Λέγεται δὲ μέτρον καὶ ὁ τῆς συλλαβῆς χρόνος, καὶ μάρτυς ἡ Πυθία ἤτοι Ὀρφεύς, λέγων περὶ τοῦ ἔπους

ὄρθιον ἑξαμερὲς τετόρων καὶ εἴκοσι μέτρων (Longin. in 'schol. Heph. B' pag. 2, 31 H)·

καὶ ὁ ποὺς δὲ μέτρον καλεῖται, ὡς ὅταν τὸ ἡρωϊκὸν ἑξάμετρον λέγωμεν· ἥ τε συζυγία, ὡς ὅταν τὰ ἰαμβικὰ τρίμετρα ἢ τετράμετρα λέγηται ἀπὸ ἓξ ἢ ὀκτὼ ποδῶν συγκείμενα· καὶ ὁ στίχος δὲ μέτρον λέγεται, ὡς φησὶν Ὀδυσσεὺς ὁ μετρικός, ὅτι ἡ πρώτη ῥαψῳδία Ὁμήρου μέτρα ἔχει δέκα καὶ ἑξακόσια· καὶ αὐτὸ δὲ τὸ ποίημα μέτρον φαμέν, ὡς ὅταν εἴπωμεν ὅτι τὰ μὲν Πλάτωνος πεζά ἐστι, τὰ δὲ Ὁμήρου μέτρα. ὥσπερ γὰρ ἐπὶ τῶν αἰσθητῶν τὸ μετροῦν καὶ τὸ μετρούμενον μέτρον ὀνομάζεται (τόν τε γὰρ χοίνικα, τὸ σκεῦος λέγω, μέτρον καλοῦμεν, ὁμοίως δὲ καὶ τοὺς δι' αὐτοῦ μετρηθέντας πυρούς), οὕτως καὶ ἐπὶ (266) τούτων τά τε ποιοῦντα καὶ τὸ γινόμενον μέτρον λέγεται. μέτρον δέ ἐστι καὶ ἡ συμμετρία, ὡς τὸ

πᾶν μέτρον ἄριστον.

Τοῦ δὲ μέτρου ὕλη μέν ἐστι συλλαβή, κριτήριον δὲ αὐτοῦ ἀκοή, κόσμος δὲ αὐτοῦ ἡ φωνή· τὸν γὰρ ἦχον τῆς εὐρυθμίας ἐκτείνουσα καὶ συστέλλουσα ἡ φωνὴ σχηματίζει τὰς συλλαβάς, ἃς εἰσδεξαμένη κρίνει ἡ ἀκοή.

Τί διαφέρει μέτρον ῥυθμοῦ;

Διαφέρει, ὅτι τοῖς μὲν μέτροις ὕλη ἐστὶ συλλαβὴ καὶ ταύτης δίχα μέτρον οὐ συνίσταται, ὁ δὲ ῥυθμὸς γίνεται μὲν καὶ ἐν συλλαβαῖς, γίνεται δὲ καὶ ἄνευ συλλαβῶν, ὡς ἐν κρότῳ χειρῶν καὶ πορείᾳ ποδῶν καὶ ἵππων δρόμῳ· ἄλλως τε τὰ μὲν μέτρα πεπηγότας ἔχει τοὺς χρόνους, μακρόν τε καὶ βραχὺν καὶ τὸν τούτων κοινόν, ὁ δὲ ῥυθμὸς ὡς βούλεται παρέλκει τοὺς χρόνους, τούς τε μακροὺς συστέλλων καὶ τοὐναντίον.

⟨IV. De pede.⟩

Τί ἐστι πούς;

Πούς ἐστι ποιῶν καὶ ποσῶν σύνθεσις εἰς εὐπρεπὲς σχῆμα συλλαβῶν· ποιῶν μέν, ὅτι δεῖ τὰς μὲν εἶναι μακράς, τὰς δὲ βραχείας· ποσῶν δέ, ὅτι δεῖ

2—3 *Eadem verba, quae ad Longinum (conf. 'scholia Hephaestionea B' pag.* 1, 15. 16) *redeunt, saepissime alibi quoque leguntur: conf. e. g. Mangelsdorf Anecd. Chis. pag.* 20 *et Pseudo-Hephaestionem* § 44, *etc.* ‖ *Ad* 4 *sqq. conf. e. g. Choerobosci Exegesin pag.* 34 ‖ 12 *non* 610 *sed* 611 *versus complectitur primus liber Iliadis* ‖ 14 μετρά *A* ‖ *Ad* 14 *sqq. conf. Carolum Lehrs 'de Aristarchi studiis Homericis' (Lipsiae* 1865) *pag.* 59 ‖ 21 ἦχον *A littera* ἦ *correctione ab A*[1] *effecta* ‖ εὐρρυθμίας *A* ‖ 22 εἰσδεξαμένη *A*, ἐκδεξαμένη *Nauck* ‖ *Ad* 23—29 *conf. Longin. ('scholia Hephaestionea B' pag.* 2, 1—9); *conf. etiam Diomedem pag.* 474, 5 *sqq., etc. etc.*

Ad pag. 231, 31 — 232, 6 *conf. 'scholia Hephaestionea B' pag.* 25, 20—26 *et tractatum quem supra edidi pag.* 99, 5—12 ‖ 31 Πούς ἐστὶ *A*

δύο εἶναι ἢ πλείους· εἰς εὐπρεπὲς δὲ σχῆμα, ὡς ὅταν εἴπωμεν τὰς συλλαβὰς ἢ ὁμοίως ἐπισυντίθεσθαι ἀλλήλαις ἢ τῆς μακρᾶς λυομένης εἰς δύο βραχείας. ἄλλως· πούς ἐστι σύνταξις συλλαβῶν ἄρσιν ἢ θέσιν περιέχουσα. οἱ δὲ οὕτως· πούς ἐστι μετρικὴ συλλαβῶν σχέσις ἀπὸ δύο ἕως ἕξ, ἐν ᾗ γνωρίζομεν τὸ τοῦ μέτρου εἶδός τε καὶ μέγεθος. Ὕλη δὲ ποδῶν συλλαβὴ ἐν ποιότητι καὶ ποσότητι εὐπρεπεῖ κειμένη.

⟨V. De pedibus pentasyllabis et hexasyllabis.⟩

Περὶ ποδῶν πεντασυλλάβων.

Πεντασύλλαβοι δὲ πόδες εἰσὶ τριάκοντα δύο, οὓς καὶ Γαληνὸς ἐν τῷ περὶ συνθέσεως τεχνῶν ἐκτίθεται. εἰσὶ δὲ οἵδε·

(267) (1) ὄρθιος ἢ ἀρίθμιος ἐκ πέντε βραχειῶν ⏑⏑⏑⏑⏑ πεντάχρονος, οἷον *Θεοφάνιος*.

(2) παρίαμβος ἢ ὑπορχηματικὸς ἐκ μακρᾶς καὶ τεσσάρων βραχειῶν –⏑⏑⏑⏑ ἑξάχρονος, οἷον *Εὐτυχιανός*.

---

1 εὐπρεπές δε *A* ‖ 3—5 *conf. Choerobosci Exegesin in Hephaest. pag.* 56, 19 — 57, 2 ‖ 3 πούς ἐστὶ *A* ‖ ἢ *A*, καὶ *Nauck, conf. Hoerschelmannum ad Choerobosci Exegesin pag.* 56, 20 *et supra pag.* 99, 10 ‖ 5 εἶδος τὲ *A* ‖ 6 εὐπρεπεῖ κειμένη (*sic*) *A*; εὐπρεπεῖ κινουμένη *tractatus supra pag.* 99, 12, *conf. 'scholia Hephaestionea B' pag.* 25, 26 ‖ 8 τριακονταδύο *A* ‖ 8—9 *Galenus ipse dicit (opera ed. Kuehn, vol.* XIX *pag.* 44 *sq.) se scripsisse* περὶ τῆς τῶν τεχνῶν συστάσεως βιβλία γ' [*conf. Weinrich 'de auctorum Graec. versionibus Syriacis Arabicis etc.' pag.* 262], *conf. etiam Galeni opera vol.* XVIII A *pag.* 209, 6 *sqq. et vol.* I *pag.* 227, 4 *sqq.* ‖ 9 εἰσί δε *A*

V. *Quae hoc capite* V. *de pentasyllabis pedibus docentur, ex eodem fonte (Galeno, qui Philoxenum videtur exscripsisse [conf. Pseudo-Draconem pag.* 132, 28 — 133, 2]) *hausta sunt, ex quo ea fluxerunt quae leguntur apud Diomedem art. gramm. pag.* 481, 13 — 482, 10 (*edente H. Keilio ex codicibus A = Parisino* 7494, *B = Parisino* 7493, *M = Monacensi, L = Leidensi Vossiano* 33. 4). *In quibus quoniam Diomedes maximam partem alium ordinem in enumerandis pedibus sequitur, numeros Anonymi Ambrosiani Diomedianis pedibus praescribam. Videtur autem haec differentia in enumerandis pedibus ita orta esse, ut in modum tabellae geometricam figuram repraesentantis olim saeculo fere p. Chr. n. quarto hanc de pentasyllabis pedibus doctrinam Galenianam scriptam fuisse sumamus, eamque tabellam parum accurate alio modo resolvisse Diomedem alio anonymum Ambrosianum eiusve fontem. Indidem maior pars earum differentiarum explicanda videtur, quibus nomina pedum a Diomede laudatorum recedunt ab Ambrosiana traditione; conf. num.* 4. 6. (8. 10) *et praecipue* 22. 18. 12; *nec vero casui tribuendum videtur, quod apud anonymum Ambrosianum heptachronorum pedum ordo (num.* 7—11 *et* 13—16) *uno octachrono (num.* 12) *interrumpitur itemque octachronorum pedum ordo (num.* 17 *et* 19—26) *uno heptachrono (num.* 18). *A genuino ordine propius absis, si e. g. hoc olim ordine pedes enumeratos esse conieceris:* 1. ‖ 2. 3. 4. 5. 6. ‖ 7. 9. 10. 8. 11. | 13. 14. 15. 18. 16. ‖ 17. 22. 19. 20. 26. | 23. 25. 12. 21. 24. ‖ 27. 28. 29. 30. 31. ‖ 32. *Ne ea quidem nomina, quae aperte corrupta in Ambrosiano extant, omnia coniecturis sanare volui, cum praesertim quam parum profecerint ei viri docti, qui pedum nomina apud Diomedem tradita coniectando redintegrare conati sunt, collatis inter se Diomede et anonymo Ambrosiano iam eluceat. Vbi in eo qui iam sequitur Diomedis contextu, ductus anonymi Ambrosiani doctrina, a Keilio (et a Christio, qui hunc secutus est, 'Metrik der Griechen und Römer' ed. alt. pag.* 79) *discessi, causa discrepantiae facile apparebit:*

Pedes heteroploci pentasyllabi sunt numero triginta et duo hi:

1. orthius ex breuibus quinque temporum totidem.
2. pariambus ex longa et breuibus quattuor temporum sex.

(3) παράπυκνος ἐκ βραχείας καὶ μακρᾶς καὶ τριῶν βραχειῶν ⏑ – ⏑ ⏑ ⏑ ἑξάχρονος, οἷον *Ἀθηναγόρας*.

(4) καρικὸς ἢ πάρισος ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ δύο βραχειῶν ἑξάχρονος ⏑ ⏑ – ⏑ ⏑, οἷον *Τελαμώνιος*.

5 (5) ἀντίσπαστος ἢ ἄνετος ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς καὶ μιᾶς βραχείας ⏑ ⏑ ⏑ – ⏑ ἑξάχρονος, οἷον *Μεγαλόδωρος*.

(6) λοίσθιος ἢ ἐπίμακρος ἐκ τεσσάρων βραχειῶν καὶ μακρᾶς ⏑ ⏑ ⏑ ⏑ – ἑξάχρονος, οἷον *Ἐπιμενίδης*.

(7) σύμπλεκτος ἢ ἀσύνθετος ἐκ δύο μακρῶν καὶ τριῶν βραχειῶν
10 – – ⏑ ⏑ ⏑ ἑπτάχρονος, οἷον *Ἀμμωνιανός*.

(8) διάττιος ἢ διφυὴς ἢ ἐπίτριτος ἐκ τριῶν βραχειῶν καὶ δύο μακρῶν ⏑ ⏑ ⏑ – – ἑπτάχρονος, οἷον *βελονοπώλης*.

(9) ἀνταναπαιστος ἢ καταληκτικὸς ἐκ βραχείας καὶ δύο μακρῶν καὶ δύο βραχειῶν ⏑ – – ⏑ ⏑ ἑπτάχρονος, οἷον *Ἀριστώνυμος*.

15 (10) ἀνταμοιβαῖος ἢ βακχεῖος ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν καὶ βραχείας ⏑ ⏑ – – ⏑ ἑπτάχρονος, οἷον *ἑκατόνταρχος*.

(11) θυμελικὸς ἢ ἀμφίμακρος ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν καὶ μακρᾶς – ⏑ ⏑ ⏑ – ἑπτάχρονος, οἷον *Ἀνθεμιανή*.

(12) μουσικὸς ἢ λακωνικὸς ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μα-
20 κρῶν καὶ βραχείας ὀκτάχρονος – ⏑ – – ⏑ οἷον *πρωτοναύκληρος*.

(13) δόχμιος ἢ προανάπαιστος ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς ἑπτάχρονος ⏑ ⏑ – ⏑ – ⟨οἷον . . . . . .⟩.

(14) δωρικὸς ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας – ⏑ ⏑ – ⏑ ἑπτάχρονος, οἷον *Πρωτεσίλαος*.

25 (15) κύπριος ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς ἑπτάχρονος ⏑ – ⏑ ⏑ – οἷον *Ἀριστοτέλης*.

---

4 ἑξαχρόνος *A* || 9 ἀσύνθετος *A*, *an* εὐσύνθετος *scribendum?* || 11 διάττιος *A*; dasyos *Diomedis cod. M*, dasios *codd. ABL*; *an* διάγυιος *scribendum?* || 12 βελενοπώλης *A* || 15 antamoebaeos *Diomedes* (*recte*, *conf. num.* 19), ἀνταμυκλαῖος *A* || 19 *hic pes a Diomede non male* (*conf. num.* 15) anticyprios *appellatur* || 21 προανάπαστος *A ut videtur* || 22 *pro* ( ) *A habet lacunam fere* 7 *litterarum*

---

3. parapycnos ex breui et longa et tribus breuibus temporum sex.
4. mesomacros ex duabus breuibus et longa et duabus breuibus temporum sex.
5. antispastus ex tribus breuibus et longa et breui temporum sex.
6. pyrrichioanapaestus ex breuibus quattuor et longa temporum sex.
27. probrachys ex breui et longis quattuor temporum nouem.
28. hypobrachys ex longa et breui et tribus longis temporum nouem.
29. mesobrachys ex duabus longis et breui et duabus longis temporum nouem.
30. molossiambos ex tribus longis et breui et longa temporum nouem.
31. colobos ex quattuor longis et breui temporum nouem.
17. diphyes ex duabus breuibus et tribus longis temporum octo.
22. orthius ex longa et duabus breuibus et longis duabus temporum octo.
19. amoebaeos ex duabus longis et totidem breuibus et longa temporum octo.
20. molossopyrrich⟨i⟩os [hoc est] ex tribus longis et duabus breuibus temporum octo.

16 ἰαμβώδης ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας ἑπτάχρονος ⏑ – ⏑ – – ⏑ οἷον *Ἀθηνόδωρος*.

17 διφυής ἢ βραχύμακρος ἐκ δύο βραχειῶν καὶ τριῶν μακρῶν ὀκτάχρονος ⏑ ⏑ – – – – οἷον *Ἑκατομβαιών*.

18 ὄρθιος ἢ ἀναπαιστικὸς ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν – ⏑ – – ⏑ ⏑ ἑπτάχρονος. οἷον *εὐλογώτατος*. 5

19 ἀμοιβαῖος ἢ ἰόβακχος ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν καὶ μακρᾶς – – ⏑ ⏑ – ὀκτάχρονος. οἷον *Ἡρωνιανή*.

20 μολοσσοπυρρίχιος ἐκ τριῶν μακρῶν καὶ δύο βραχειῶν ὀκτάχρονος – – – ⏑ ⏑ οἷον *Ἡρακλειανός*. 10

21 παριαμβώδης ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν ⏑ – ⏑ – – ὀκτάχρονος. οἷον *Ἀριστογείτων*.

22 ἀντικύπριος ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ δύο μακρῶν – ⏑ ⏑ – – ὀκτάχρονος, οἷον *λῃστοδιώκτης*.

23 βακχειοχορεῖος ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας – – ⏑ – ⏑ ὀκτάχρονος. οἷον *Αἰγυπτίαρχος*. 15

24 ὑποδόχμιος ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς – ⏑ – ⏑ – ὀκτάχρονος. οἷον *εὐπρεπεστάτη*.

25 δόχμιος κατὰ συζυγίαν ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς ⏑ – – ⏑ – ὀκτάχρονος ⟨, οἷον . . . . . .⟩. 20

26 ἀντίστροφος ἐκ βραχείας καὶ τριῶν μακρῶν καὶ βραχείας ⏑ – – – ⏑ ὀκτάχρονος. οἷον *Ἀλεξάνδρεια*.

27 πρόβραχυς ἢ ἀκέφαλος ἐκ βραχείας καὶ τεσσάρων μακρῶν ἐννεάχρονος, οἷον *Θεμιστοκλείδης* ⏑ – – – –.

---

5 *post* ἐκ *in A scriptum sed statim deletum est* βραχείας ‖ 7 ἰήβακχος *an* ἰόβακχος *A* ‖ 9 molossopyrrichos *codices Diomedis* ‖ 13 ἀντικύπριος *A* (*parum probabiliter, conf. num.* 15; *a Diomode hic pes* orthius *appellatur*) ‖ 15 βακχειοχορεῖος] bacchiochorios *Diomedes*. βακχεῖος ἢ χορείαμβος *A* ‖ 16 αἰγυπτιάρχος *an* αἰγυπτίαρχος *A* ‖ 19—20 βραχείας καὶ μακρᾶς ⏑ – – ⏑ – ὀκτάχρονος] δύο βραχειῶν ⏑ – – ⏑ ⏑ ἑπτάχρονος *A* ‖ 20 *pro* ( ) *A habet lacunam fere* 8 *litterarum* ‖ 21 antistrophos *Diomedes*, ἀμφίστροφος *A* ‖ 23—24 ἑπτάχρονος *A* ‖ 24 *schema transponendum est post* μακρῶν (*vers.* 23)

---

7. symplectos ex duabus longis et tribus breuibus temporum septem.

18. musicos ex longa et breui et longa et duabus breuibus temporum septem.

9. antanapaestus ex breui et duabus longis et duabus breuibus temporum septem.

10. antamoebaeos ex duabus breuibus et duabus longis et breui temporum septem.

8. dasios (dasyos *M*) ex tribus breuibus et duabus longis temporum septem.

11. thymelicos ex longa et tribus breuibus et longa temporum septem.

13. dochmios ex duabus breuibus et longa et breui et longa temporum septem.

21. pariambodes ex breui et longa et breui et duabus longis temporum octo.

14. doricos ex longa et duabus breuibus et longa et breui temporum septem.

16. iambodes ex breui et longa et breui et longa et breui temporum septem.

15. cyprios ex breui et longa et duabus breuibus et longa temporum septem.

12. anticyprios ex longa et breui et duabus longis et breui temporum octo.

(28) ὑπόβραχυς ἢ ὑποκύπριος ἐκ μακρᾶς καὶ βραχείας καὶ τριῶν μακρῶν – ⏑ – – – ἐννεάχρονος, οἷον *δημοκομπώδης*.

(29) μεσόβραχυς ἢ ὑπόμακρος ἐκ δύο μακρῶν καὶ βραχείας καὶ δύο μακρῶν – – ⏑ – – ἐννεάχρονος, οἷον *Ἡρακλεώτης*.

5 (30) μολοσσοῖαμβος ἐκ τριῶν μακρῶν καὶ βραχείας καὶ μακρᾶς – – – ⏑ – ἐννεάχρονος οἷον ⟨. . . . . .⟩.

(31) κολοβὸς ἐκ τεσσάρων μακρῶν καὶ βραχείας – – – – ⏑ ἐννεάχρονος, οἷον *Ψευδηράκλειτος*.

(32) μολοσσοσπονδεῖος ἐκ πέντε μακρῶν δεκάχρονος – – – – – οἷον
10 *Ψευδηρακλείδης*.

---

5 μολοσσοῖαμβος] molossiambos *Diomedis codices* (moloss(o)iambos *Christ*), μολοσσὸς ἰαμβικὸς *A* || 6 *pro* ⟨ ⟩ *A habet lacunam fere* 7 *litterarum* || 9 molos(s)ospondios *Diomedes*, μόλος ἔλεγχος *A*

---

23. bacchiochorios ex duabus longis et breui et longa et breui temporum octo.

24. hypodochmios ex longa et breui et longa et breui et longa temporum octo.

25. dochmios per synzugian (ex breui et duabus longis et breui et longa temporum octo).

26. antistrophos ex breui et tribus longis et breui temporum octo.

32. molossospondios (molosospandios *A*, molosospendios *B*, molosospendio *M*) ex longis quinque temporum decem.

[*Qui in fine codicis Riccardiani* 583 *saec.* XV (*quo Ciceronis libri de officiis continentur*) *adiectus est conspectus pedum pentasyllaborum, is ex hoc ipso, quem modo descripsimus, loco Diomedis desumptus et foedissimis mendis inquinatus est.*]

Nomina pentasyllaborum et hexasyllaborum pedum (*conf. e. g. Mallium Theodorum pag.* 588, 2 *Keil*), *quae in hoc et in proximo capite enumerantur, perpaucis Byzantinis innotuerunt. Olim nomina pentasyllaborum et hexasyllaborum pedum proposuerat Philoxenus Alexandrinus* (*conf. Pseudo-Draconem pag.* 132, 28 *sqq.*) *eumque secutus esse videtur Galenus* (*conf. supra pag.* 232). *Ioannes Tzetzes* περὶ τῶν ἐν τοῖς στίχοις μέτρων ἁπάντων (*ed. Cramer, Anecd. Oxon.* III) *pag.* 307, 12 *sqq. haec ait*: τοὺς δ' ἄλλους (*scil. pedes praeter disyllabos, trisyllabos, quadrisyllabos*) οὐκ ἐπίστανται τίνες καὶ πῶς καλοῦνται, | πλὴν μόνον λέγουσι ποσὸν καὶ μόνον ἀριθμοῦσι· | κλῆσιν δὲ τούτων οὐδαμῶς ἐτόλμησέ τις φράσαι. (*conf. e. g. Marium Victorinum pag.* 48, 27 *Keil*). | ὁ δὲ ῥηθείς μοι σύναιμος (*Isaacus Tzetzes*) ἔφη καὶ περὶ τούτων, | ὧν περ βραχεῖς εἰπόντος μου, πάντες λοιπὸν δηλοῦνται. | Πεντασυλλάβους ἔφασκε τοὺς δακτυλοσπονδείους (– ⏑ ⏑ – –) | καὶ τὸν ἰαμβανάπαιστον (⏑ – ⏑ ⏑ –) καὶ τροχαιοχορείους (– ⏑ ⏑ ⏑ ⏑) | καὶ μολοσσοπυρρίχιον (– – – ⏑ ⏑) καὶ τοὺς λοιποὺς ὁμοίως. | Καὶ τοὺς ἑξασυλλάβους δὲ πάλιν ὁμοιοτρόπως | φάσκων χορειοδάκτυλον (⏑ ⏑ ⏑ – ⏑ ⏑) καὶ χορειοβακχεῖον (⏑ ⏑ ⏑ ⏑ – –), | ἀμφιμακροανάπαιστον (– ⏑ – ⏑ ⏑ –) καὶ μολοσσοδακτύλους (– – – – ⏑ ⏑), | ἰαμβοτριτεπίτριτον (⏑ – – – ⏑ –), ἰωνικοσπονδεῖον (– – ⏑ ⏑ – – *vel* ⏑ ⏑ – – – –), | τροχαιοπαιωνόπρωτον (– ⏑ – ⏑ ⏑ ⏑) καὶ καθεξῆς ὁμοίως κτλ. *Ex his nominibus cum* μολοσσοπυρρίχιος *et apud anonymum Ambrosianum et apud Diomedem redeat* (*num.* 20) *et apud utrumque similia nomina* βακχειοχορείου *et* μολοσσοϊάμβου *et* μολοσσοσπονδείου *legantur* (*num.* 23. 30. 32) *et apud Diomedem 'pyrrichioanapaesti' nomen commemoretur* (*num.* 6) [*conf. etiam* ἰαμβοτρόχαιον *apud Choeroboscum supra pag.* 88, 3; *cui addi potest* τροχαιοῖαμβος (*supra apud Anonymum Ambrosianum pag.* 228, 20)], *apparet Isaacum Tzetzam in nuncupandis pedibus pentasyllabis* (*et hexasyllabis?*) *rationem secutum esse, quae dudum ante eius tempora inventa erat. — Ea nomina pentasyllaborum et hexasyllaborum pedum, quae Iacobus Micyllus* (*de re metrica*) *eumque secuti multi alii scriptores recentiores propria habent, nullius omnino pretii esse constat.*

Περὶ ἑξασυλλάβων.

(1) Σύντομος ἐκ δύο βραχυσυλλάβων ἐκ βραχειῶν ἕξ ⏑⏑⏑⏑⏑⏑ οἷον *Ἀπολινάριος*.

(2) ὑποκύκλιος πρῶτος ἐκ μακρᾶς καὶ πέντε βραχειῶν –⏑⏑⏑⏑⏑

(3) ὑποκύκλιος δεύτερος ἐκ βραχείας καὶ μακρᾶς καὶ τεσσάρων βραχειῶν ⏑–⏑⏑⏑⏑ 5

(4) ὑποκύκλιος τρίτος ἢ παλινδόχμιος· ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ τριῶν βραχειῶν ⏑⏑–⏑⏑⏑

(5) ὑποκύκλιος τέταρτος ἢ ὄρθιος ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς καὶ δύο βραχειῶν ⏑⏑⏑–⏑⏑ 10

(6) ὑποκύκλιος πέμπτος ἢ ἀντιδόχμιος ἐκ τεσσάρων βραχειῶν καὶ μακρᾶς καὶ βραχείας ⏑⏑⏑⏑–⏑

(7) ὑποκύκλιος ἕκτος ἐκ πέντε βραχειῶν καὶ μακρᾶς ⏑⏑⏑⏑⏑–

(8) δωρικὸς ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς καὶ δύο βραχειῶν –⏑⏑–⏑⏑ 15

(9) φρύγιος ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς ⏑⏑–⏑⏑–

(10) ἁρμόττιος ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν καὶ δύο μακρῶν ⏑–⏑⏑––

(11) πρόδρομος πρῶτος ἐκ τεσσάρων βραχειῶν καὶ δύο μακρῶν 20 ⏑⏑⏑⏑––

(12) πρόδρομος δεύτερος ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς ⏑⏑⏑–⏑–

(13) πρόδρομος τρίτος ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν καὶ δύο βραχειῶν ⏑⏑––⏑⏑ 25

(14) πρόδρομος τέταρτος ἐκ βραχείας καὶ δύο μακρῶν καὶ τριῶν βραχειῶν ⏑––⏑⏑⏑

(15) πρόδρομος πέμπτος ἐκ δύο μακρῶν καὶ τεσσάρων βραχειων ––⏑⏑⏑

(16) πρόδρομος ἕκτος ἐκ μακρᾶς καὶ τεσσάρων βραχειῶν καὶ μακρᾶς 30 –⏑⏑⏑⏑–

(17) τρίβραχυς σὺν κρητικῷ ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς ⏑⏑⏑–⏑–

(18) ἀμφίβραχυς σὺν ἀναπαιστικῷ ἐκ βραχείας καὶ μακρᾶς καὶ τριῶν βραχειῶν καὶ μακρᾶς ⏑–⏑⏑⏑– 35

(19) ἀμφίβραχυς σὺν δακτυλικῷ ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν ⏑–⏑–⏑⏑

(20) δάκτυλος σὺν ἀμφιβράχει ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν καὶ μακρᾶς καὶ βραχείας –⏑⏑⏑–⏑

---

14 δωρικὸς (*conf. supra pag.* 233, 23)] δῶρος *A*; *an* δώριος *scribendum?* ‖ 18 *an* ἁρμόδιος *scribendum? an* ἁρμόνιος? ‖ 34 ἀντίβραχυς *A* ‖ *exspectes* ἀναπαίστῳ ‖ 36 *exspectes* δακτύλῳ

ad scriptiunculas varii argumenti et excerpta quaedam tachygraphorum modo scribenda. Ex his excerptis non pauca ad rem metricam pertinent. Sunt autem haec, quae pleraque omnia ex aliis codicibus dudum innotuerunt:

I. *Inter Aeschyli fabulas scholiis instructas Septem (quae fabula in A initio mutila est; folium* 3r *incipit a versu* 445 *[ed. Dindorf] huius fabulae, foliis* 1 *et* 2 *chartaceis initium eiusdem fabulae continetur manu recentiore suppletum; Septem fabulam, quae in A in superiore parte folii* 13r *terminatur, excipit (fol.* 13r) ἐκ τῆς μετρικῆς χρονικῆς βίβλου Ἰωάννου τοῦ Τζέτζου ἀλληγορία, *quae imperfecta abrumpitur*) in folio* 13v) *et Persas**) (quae fabula codicis A folia* 20r *usque ad* 39v *occupat) interiecta sunt*

---

*) *Huius allegoriae initium et exitum ex codice A liberalissime mihi transcripsit Gustavus Vnger hunc in modum (nisi quod desunt in A iota subscripta):*

ἐκ τῆς μετρικῆς χρονικῆς βίβλου ῑω τοῦ τζέζου, ἀλληγορία· +
+ τοῦ μακαρῖ τζέζου περὶ ἀλληγορίας:—
ἀλληγορεῖν εὕρημα τῶν αἰγυπτίων:
κἂν ἔσχεν αὐτὸ καὶ γονὴ τῆς ἑλλάδος·
κἀδμου μαθοῦσα τοῦτο κἀξ αἰγυπτίων·
πάντων γὰρ αὐτοὶ τοὺς θεῶν πρῶτοι λόγους,
(5) ἠλληγόρησαν εὐσεβεῖ νοὸς κρίσει·
κρύπτοντες αὐτοὺς ἐκ βεβήλων ὠτίων·
τηροῦντες αὐτοὺς τοῖς ἀπέρνοις [?] ὠτίοις·
ἔλυτρα ταὐτὶ τῶν γραφῶν τεθεικότες:
ἔλυτρα ταὐτὶ τοῦ λόγου τῶν μαργάρων·
(10) ἄλλα τὲ πολλὰ συμβόλοις ἀσυμβόλοις;
γράφοντες ἐκφέρουσιν οὐ σαφεῖ λόγῳ·
. . . . . .
[*conf. Strab.* II 4, 1] . . . . . .
(142) μήτ' οὖν πορευτῷ μήτε πλωτῷ τὴν φύσιν·
φέρειν δὲ τὴν γῆν καὶ θαλάσσης τὴν χύσιν.
στοιχειακῶς γῆν τὴν ῥέαν οὕτω νόει
(145) δήμητρα καὶ θέμις δὲ πανδώρα ῥέα·
ἶσις τροφὴ τηθύς τε γῆ χθὼν ἑστία
ἄλλαι τε πολλαὶ κλήσεων ἐφευρέσεις·
τὴν γῆν διαγράφουσιν ἐν πολλοῖς λόγοις·
στοιχειακῶς συνῆκας ὡς ἡ γῆ ῥέα.
(150) τοῖς ψυχικοῖς δὲ τῶν λόγων εὑρὼν πάλιν
ῥέαν νόει μοι τὴν γεώδη καρδίαν·
τριττῶς διευκρίνεικα [?] σοὶ κρόνον ῥέαν.

Adnotavit autem Vnger versum 8 *paulo magis fusco atramento scriptum esse ab A*1 *quam reliquos versus et in versu* 10 συμβόλοις ἀσυμβόλοις *correctum esse ex* συμβούλοις ἀσυμβούλοις. *Apparet initium eius carminis in A superesse, quod Fed. Morellus ('Ioannis Tzetzae allegoriae mytholog. physicae, morales' Lutetiae* 1616) *pessime edidit ex bibliotheca Iani Rutgersii. Ei versus, quos Vnger transcripsit, respondent versibus editionis a Morello curatae* 1—11 *et* 138—147. *Itaque consentaneum est aliquot versus inter versum* 11 *et versum* 138 *(ed. Morell.) accessuros esse ex codice A. Multi errores editionis Morellianae ope codicis A corriguntur; conf. verba quae in versibus* 8. 10. 142—148. 150. 152 *latius diductis litteris exprimenda curavi.*

**) *Persas fabulam praecedit in A* 'ὑπόθεσις περσῶν αἰσχύλου', *cuius verba in his discrepant ab eo contextu, qui legitur in scholiorum Aeschyleorum editione Oxoniensi (a.* 1851) *a Guil. Dindorfio curata pag.* 475, 3 *sqq.: A habet pag.* 415, 3 μύθοις ‖ φησὶ ‖ 7 εὐνοῦχος ἐστὶν ‖ τοῦ *deest* ‖ 9 μὲν ἐστὶ ‖ 10 ὅταν λέγῃ ‖ 12 δὲ στάσιμα ὅτε (*sic A*1, ὅταν *manus recentior*) ἵσταται ‖ 15 *post* ἑλλάδος *haec addita sunt:* μετὰ δυνάμεως πολλῆς ἵππον μὲν ἄμετρον ἐπαγόμενος ναῦς δὲ χιλίας διακοσίας ἑπτὰ ἢ δεκατέσσαρας ‖

folia 14—19, *ex quibus folia* 14um *et* 15um *et* 19um *chartacea sunt et scriptura vacant, folia* 16um *et* 17um *varia continent excerpta vel grammatici argumenti vel talia qualia fere grammaticorum rhetorumque scholae Byzantinis hominibus suppeditabant.*

a. *In folio* 17v *exstat hic tractatus* [*qui idem cum alibi legitur tum in codice Ambrosiano M* 51 *ord. sup.* (*olim Georgii Vallae*) *chartaceo formae octavae saec.* XV—XVI *miscellaneo fol.* 396v *post Manuelis Moschopuli scriptionem de schedis ab alia manu exaratus; hunc codicem M littera significabo, ubi ab A discrepat*]: τὸ ἡρωϊκὸν μέτρον ἓξ ἔχει πόδας. καὶ ὁ μὲν πρῶτος καὶ δεύτερος καὶ τρίτος καὶ τέταρτος καὶ πέμπτος ποὺς ἢ δάκτυλος ὀφείλει εἶναι ἢ σπονδεῖος· ἀδιάφορον γάρ. [*M hoc loco haec addit:* δάκτυλος μὲν οὖν ἐστιν ὁ ἐκ μακροῦ καὶ δύο βραχέων, οἷον ἥλιος· σπονδεῖος δὲ ὁ ἐκ δύο μακρῶν, οἷον ἥρως.] ὁ δὲ ἕκτος καὶ τελευταῖος ποὺς ὡς ἐπὶ τὸ πλεῖστον [ἐπιτοπλεῖστον *M*] μὲν τροχαῖος ἐστί [ἐστιν *M; M hoc loco haec addit:* ὁ δὲ τροχαῖος ἐκ μακροῦ καὶ βραχέος ἐστιν (*sic*), οἷον δῆμος]· ποτὲ δὲ καὶ δάκτυλος, οἷον λαῶν ἱζόντων· ὅμαδος δ' ἦν· ἐννέα δέ σφεας [δὲ σφέας *M*] ⟨*Homer.* B 96⟩· ὅτε καὶ δολιχόουρος ὁ στίχος λέγεται ἤγουν μακρὰν ἔχων τὴν οὐρὰν τουτέστι τὴν τελευταίαν συλλαβήν· δολιχὸν γὰρ λέγεται τὸ μακρόν. ποτὲ δὲ ὁ τελευταῖος ποὺς εὑρίσκεται πυρρίχιος ἐκ δύο βραχειῶν [βραχ̄ *A*, βραχέων *M*], ὡς τὸ Τρῶες δ' ἐρρίγησαν ἐπεὶ [*conf. supra pag.* 189 *adnot.* 17] ἴδον αἰόλον [αἴολον *M*] ὄφιν ⟨*Homer.* M 208⟩· ὅτε καὶ μείουρος [μείουργος? *A*] ὁ στίχος λέγεται ὡς κεκολοβωμένην [κεκολοβωμένον? *A*] καὶ μείονα τὴν οὐρὰν [*M hic addit* ἔχων] ἤγουν τὴν τελευταίαν συλλαβὴν ἔχων [*M hic omittit* ἔχων]. εὑρίσκεται δὲ ὁ ἕκτος ποὺς καὶ σπονδεῖος, ὡς τὸ πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω ⟨*Homer.* α 3⟩. εἰ μὲν οὖν ἀεὶ [*hoc adverbium omittit M*] οὕτως εἶχε τὸ ἡρωϊκὸν μέτρον, ἦν ἂν εὐχερῶς εἰς τὸ μετρεῖσθαι. ἐπεὶ [ἐπεῖ *A*] δὲ ἐν αὐτῷ εὑρίσκεται καὶ κοινὴ συλλαβὴ καὶ συνίζησις, δυσκολία τῷ μετροῦντι προσγίνεται. ῥητέον οὖν τοὺς τρόπους τῆς κοινῆς συλλαβῆς καὶ τῆς συνιζήσεως.

*His verbis abrumpitur hic tractatus in A**); *deinde A sic pergit:* τοῦ μητροπολίτου (*litteras* λίτου *in scripturae compendio latere conicio, quod propter typographum accurate imitari non potui*) [*id est Gregorii Corinthii?*] περὶ τῆς κοινῆς συλλαβῆς: κοινὴ

---

16 σαλαμῖνι καὶ διὰ ‖ διεπεραιώθη ‖ 17—19 *pro verbis* ἐκστρατεύοντι — ναυσί *haec tantum in A leguntur:* ἰστέον δὲ ὅτι τριακοσίας μόνας νῆας εἶχον οἱ ἕλληνες ‖ 20 βασιλεύοντος] ἐπὶ ‖ *pag.* 416, 2 ὄντος τότε τῶν ἀθηναίων καὶ ῥήτορος καὶ νῆας εἰπόντος ποιῆσαι ‖ 4—5 πῶς τῶν περσῶν περιγενήσονται εἶπε ‖ 6 *verba* τούτου ἀκούσαντες *desunt* ‖ 7 τῶν *deest* ‖ 8 *inter* αἳ *et* πολλάκις *additum sed deletum est* πολλάκις αἳ ‖ 12 τοῦ ξέρξου τούτου πατὴρ ‖ 13 εἰσὶ; *reliqua hypotheseos verba cum A non contuli. Apparet codicis A contextum non longe distare a codice Parisino* 2785.

*) *Contra in M* (*id est in codice Ambrosiano M* 51 *ord. sup.*) *post verba* τῆς κοινῆς συλλαβῆς καὶ τῆς συνιζήσεως *statim in eodem versu sequuntur haec*: Ἡ μὲν οὖν κοινὴ συλλαβὴ γίνεται κατὰ τρεῖς τρόπους. Καὶ πρῶτος μὲν τρόπος αὐτῆς (*incipit in M fol.* 397r), ὅταν καταπεραιοῖ ἡ λέξις εἰς δίφθογγον ἢ εἰς μακρὸν φωνῆεν ἢ εἰς μηκυνόμενον δίχρονον, καὶ τὴν ἑξῆς καὶ ἔμπροσθεν λέξιν ἀρχομένην ἔχοι ἀπὸ φωνήεντος. παράδειγμα τῆς λέξεως τῆς καταπεραιούσης εἰς δίφθογγον ὁ στίχος οὗτος· ἄνδρα μοι ἔννεπε Μοῦσα πολύτροπον ὃς μάλα πολλὰ πλάγχθη ⟨*Homer.* α 1. 2⟩. μετρεῖται γὰρ οὕτως· ἄνδρα μοι δάκτυλος καὶ λαμβάνεται τὸ $\overline{\mu o\iota}$ ὡς βραχύ, διότι δίφθογγός ἐστι καταπεραιουμένη εἰς μέρος λόγου καὶ τὴν ἔμπροσθεν λέξιν ἀπὸ φωνήεντος ἀρχομένην ἔχει τοῦ $\overline{\epsilon}$· καὶ ἔστι καθ' ἑαυτὸν μὲν ὁ ποὺς ἀμφίμακρος, ἐν δὲ τῷ στίχῳ ὡς δάκτυλος τῷ ποιητῇ λαμβάνεται. τῆς δὲ εἰς $\overline{\eta}$ πάλιν περαιούσης παράδειγμα τὸ πλάγχθη ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν ⟨*Homer.* α 2⟩. οὕτω γὰρ μετρεῖται· πλάγχθ$\overline{\eta\ \epsilon}$ δάκτυλος, καὶ τὸ μακρὸν $\overline{\eta}$ ὡς βραχὺ λογιζόμεθα, διότι εἰς μέρος λόγου ἡ συλλαβὴ (καταπεραιοῖ) καὶ τὴν ἔμπροσθεν λέξιν ἀρχομένην ἔχει ἀπὸ φωνήεντος τοῦ $\overline{\epsilon}$· καὶ ἔστιν ὁ ποὺς καθ' ἑαυτὸν μὲν παλι(μ)βάκχειος ἐκ δύο μακρῶν καὶ βραχέος, ἐν δὲ τῷ στίχῳ ὡς δάκτυλος λαμβάνεται. τῆς δὲ καταπεραιούσης εἰς μηκυνόμενον δίχρονον παράδειγμα τὸ τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα πεφύκει ⟨*Homer.* Δ 109⟩. μετρεῖται γὰρ τοῦ κέρα δάκτυλος· (*incipit in M fol.* 397v) τὸ γὰρ $\overline{\rho\alpha}$ εἰς μακρόν ἐστιν· ἀλλ' ὅμως ἐπεὶ εἰς τέλος ἐστὶ λέξεως καὶ τὴν ἑξῆς λέξιν ἀρχο-

